AELIA
EUDOCIA
AUGUSTA

HOMERIC CENTOS

WITH RESTART

EPIC POEM .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

3.0

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

PRINT 2-SIDED: **1** to **28**

Notes

Notes

τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον.
ὃς δὲ ἀμηνὴς αὐτὸς ἔηι καὶ ἀπηνέα εἰδῆι
τῶι ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσηι.
τῶι δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῶι, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθοίατο ὡς ἀγορεύω,
οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι.
ἀλλ' ἴομεν ποτὶ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται.
αὐτοὶ δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι.
ταῦτα δ' ἐγὼ αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
ἠχῆι θεσπεσίηι· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν
χάρματι γηθόσυνοι, τό σφιν θεὸς ἔμβαλε θυμῶι.
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν ὁππότ' ἀείδη
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωντο
πάντες θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάεσκον.
λαοί ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα,
παῖδες πρωθῆβαι πολιοκρόταφοί τε γέροντες.
ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ἦρος
χωλοί τε ῥυσσοί τε παραβλωπές τ' ὀφθαλμῶν.
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων.
πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω.
ἀλλήλους τ' εἴροντο τίς εἴη καὶ πόθεν ἔλθοι.
καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον, οὐδὲ ἐώικει
L1[O]↔ ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
𝔸 τετρήχει δ' ἀγορή, ὑπὸ δ' ἐστοναχίζετο γαῖα.
βῆ δ' ἴμεναι πρότερος, ἑτέρηφι δὲ λάζετο Πέτρον,
ὅς οἱ κύδιστος ἑτάρων ἦν κεδνότατός τε.
σεύατ' ἔπειτ' ἀνὰ ἄστυ, ποσὶ κραιπνοῖσι πεποιθώς.
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο,
οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.
ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώμαθ' ἵκοντο,
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσετο δώματος εἴσω.
τὸν δ' εὗρεν δαινύντα γάμους πολλοῖσιν ἔτησιν
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ὧι ἐνὶ οἴκωι.
ἦ γὰρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔ τινι τόσση.
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων,
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν
τοῖσιν δὲ μέγα δῶμα περιστοναχίζετο ποσσίν.
◆ κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
μολπῆς ἐξάρχουσαι ἐδίνευον κατὰ μέσσας,
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες.
πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω.
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
ταῖσιν δ' ἐν μέσσηισι πάϊς φόρμιγγι λιγείηι
ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε.
ἄστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.

KEY: simile or omen crux
◆ row of last line.

Letters underlined:
variation from otherwise same line in the Iliad or Odyssey.

AELIA
EUDOCIA
AUGUSTA

HOMERIC CENTOS

WITH RESTART

EPIC POEM .ORG

DIGITAL CLASSICS

ABANDON MY TROVE OR HASTEN TO LICENSE THE LEAVES I HAVE SOUGHT FOR SO LONG. MADE IN THE EMPIRE STATE.

INTERLEAVABLE

language: Homeric Greek (v CE)
copy text: Usher (Teubner 1999) transcription of MS Iviron 4464 (Mt Athos, xiv c.), with lacuna filled with text of Stephanus (1578).
typeface: Sea Hand Press 20

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this **PUBLIC DOMAIN TEXT** is available for free at ARCHIVE.ORG (LINK).

σπουδῆι δ' ἕζετο λαός, ἐρήτυθεν δὲ καθ' ἕδρας.
ἐννέα δ' ἕδραι ἔσαν, πεντηκόσιοι δ' ἐν ἑκάστηι.

EPICPOEM.ORG 🇺🇸 2342+34 lines 3.0

3L 𝔸 1-550 3L ℂ 1151-1750 3L 𝔼 Pro. 9-34
3L 𝔹 551-1150 3L 𝔻 1751-2342

PRINT 2-SIDED: **3 to 28**

Κέκλυτε, μυρία φῦλα περικτιόνων ἀνθρώπων,
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες
ἠμὲν ὅσσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει
ὡς εὖ γινώσκηιτ' ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανατοῖσιν ἀνάσσων
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος
Ἄρκτον θ', ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
ἰχθῦς ὄρνιθάς τε φίλας, ὅ τι χεῖρας ἵκοιτο
εἰναλίων τοῖσίν τε θαλάσσια ἔργα μέμηλεν
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ἔνεστι
κῆτος ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη,
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα,
ἄρκτους τ' ἀγροτέρους τε σύας χαροπούς τε λέοντας,
πάντα κεν ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει,
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον,
ἀμφὶ δὲ λειμῶνας μαλακοὺς ἴου ἠδὲ σελίνου
πυρούς τε ζειάς τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν,
γίνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεα ὑψιπέτηλα,
L1[I] ↔ 𝔸 ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι
κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος,
καὶ πηγὴ ποταμῶν καὶ πίσεα ποιήεντα.
κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῶι,
πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·
τῶν δέ γε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες.
λοῖσθος ἀνὴρ ὥριστο· ἔϊκτο δὲ θέσκελον αὐτῶι.
ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
δεινός τ' ἀργαλεός τε καὶ ἄγριος οὐδὲ μαχητός,
ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
παρφασίηι τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
κούρηι δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσηι.
αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον,
φωνῆι τε βροτέηι κατερήτυε φώνησέν τε·
✦ "ἦ ῥά νύ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
ἦέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῶι;
ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θήσω.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σχοπὸς ἔσσομαι, οὐδ' ἀπὸ δόξης.
νημερτὲς γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω.
τῆι περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν
οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος
ἀλλ' αἰεὶ ζεφύροιο λιγὺ πνείοντος ἀῆται
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσιν.

εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα,
ὕψι δ' ὑπαὶ νεφέων ἴδετο τρήρωνα πέλειαν.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών.
ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
καὶ τότε δὴ κρῖνέν γ' ἑτάρων δυοκαίδεκ' ἀρίστους
εἰναλίους, οἷσίν τε θαλάσσια ἔργα μεμήλεν,
ὄφρά οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα.
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι
τῶν ἄλλων μετά γ' αὐτόν· ὁ δ' ἔπρεπε καὶ διὰ πάντων.
οἱ δ' ἔλαχον τοὺς ἂν κε καὶ ἤθελεν αὐτὸς ἑλέσθαι.
οἱ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο.
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
λισσόμενοι, ὅτε κέν τις ὑπερβήηι καὶ ἁμάρτηι.
τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο.
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν.
"κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ γὰρ ἀπείρητος μυθήσομαι, ἀλλ' εὖ εἰδὼς
τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῆι κατανεύσω.
οὔτε τι μάντις ἐὼν οὔτ' οἰωνῶν σάφα εἰδώς,
αὐτὰρ ἐγὼ μεγάλου θεοῦ εὔχομαι ἔμμεναι υἱός.
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὸς δέ με γείνατο πατὴρ
ἤπιος, ὃς δή τοι παρέχει βρῶσίν τε πόσιν τε,
ξείνιος, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα. L1[I] 𝔸
τοῦ περ ἐγὼ πάϊς εἰμί, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι.
τοὔνεκά με προέηχε διδασκέμεναι τάδε πάντα
σήμαθ', ἅ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων.
ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρηι,
μοίρην τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων
τρεῖς, ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυῶτες,
ἥλικες ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
οἵδ', οἵ κεν τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισι,
αὖθις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες.
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ,
οὔ τοι ἀπόβλητόν γ' ἔπος ἔσσεται, ὅττι κεν εἴπω,
ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν. ὅτε κέν τε θάνωσιν,
ἂψ' ἀναστήσονται. τότε δὲ γνώσεσθε ἕκαστος
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἔνθ' ὅ τε δειλὸς ἀνὴρ ὅς τ' ἄλκιμος ἐξεφαάνθη·
κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
ὅς τίς κεν τλαίη, οἵ τ' αὐτῶι κῦδος ἄροιτο.
ὃς μὲν ἀμύμων αὐτὸς ἔηι, καὶ ἀμύμονα εἰδῆι,

Eudocia Homeric Centos

ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ' αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
καί μοι ἕκαστ' ἐπέτελλεν, ἔικτο δὲ θέσκελον αὐτῶι.
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα.
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι.
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
οὐ γάρ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
ὅσσος ἔην οἷός τε· θεῶι γὰρ ἄντα ἐώικει.
τῶι μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
πειθόμενος τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῆι,
μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνηι.
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσσεται ἐλθών.
νημερτέως γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω.
αἶψά κε σὺν ὧι πατρὶ βίας ἀποτίσσεται ἐλθὼν
ἀθάνατος. οἱ δ' αὖτ' ἀνεμώλιοι οἳ τὸ πάρος περ
χρυσῶι τ' ἠλέκτρωι τε κεκασμένοι ἠδ' ἐλέφαντι.
αἶψά κε σὺν ὧι πατρὶ βίας ἀποτίσσεται ἀνδρῶν
οἳ βίηι εἰν ἀγορῆι σκολιὰς κρίνωσι θέμιστας,
ἐκ δὲ δίκην ἐλάσωσι, θεοῦ ὄπιν οὐκ ἀλέγοντες.
ὅς σφεας τίσεται ἱκετήσιος, ὅς τε καὶ ἄλλους
ἀνθρώπους ἐφορᾶι καὶ τίνυται ὅς τις ἁμάρτοι,
τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
ἀνθρώπων κρατέει καί οἱ πείθονται ἅπαντες.
L2[O] ↔ ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
𝔸 οὔ πω πᾶν εἴρητο ἔπος ὅτ' ἄρ' ἤλυθεν αὐτός,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
ἀνέρι εἰδόμενος κούρωι αἰσυμνητῆρι.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ,
ἤϋσεν δὲ διαπρύσιον μεροπέσσι γεγωνώς.
ἐγγὺς ἀνήρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε
ἐχφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἀλλὰ γὰρ οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν.
αὐτὸς δ', αἴ κ' ἐθέλῃσιν ἰήσεται, οὐδέ τις ἄλλος."
ὡς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα,
"ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν,
οὖλέ τε καὶ μέγα χαῖρε, θεὸς δέ τοι ὄλβια δοίη."
ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
ἐς ποταμὸν δ' εἰλῦντο βαθύρροον ἀργυροδίνην.
◆ ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,
ὃς πολὺ κάλλιστα ποταμῶν ἐπὶ γαῖαν ἵησι,
καί μιν ἀποπρὸ φέρων λοῦσεν ποταμοῖο ῥοῇσι,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι,
αὐτὸς δ' ἀργύρεον φᾶρος μέγα ἕννυτο θεῖον,
λεπτόν, καὶ χάριεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα.
ἦμος δ' ἄρ' ὅ γ' ἐλούσατο ἐν ποταμῶι βαθυδίνῃ,
ἀμφὶ δὲ εἵματα ἕσσαθ' ἅ οἱ πόρε παρθένος ἀδμής,

οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόωσιν,
ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν.
ἔνθα δὲ δένδρεα καλὰ πεφύκει τηλεθόωντα
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι,
ἄλλα τε πόλλ' ἐπὶ τοῖσι· σὺ δ' ἵλαον ἔνθεο θυμόν.
τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἀπολείπει.
τῶν εἴ πως σὺ δύναιο λοχησαμένη γε λαβέσθαι
πρῶτον, ἔπειτα δὲ καὐτὴ ὀνήσεαι, αἴ κε φάγῃσθα
θήσει τ' ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα
ἄνδρα τε καὶ οἶκον καὶ ὁμοφροσύνην ὀπάσειεν
ἐσθλήν· οὐ μὲν γὰρ τοῦδε κρεῖσσον καὶ ἄρειον
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή, πόλλ' ἄλγεα δυσμενέεσσι,
χάρματα δ' εὐμενέτῃσι·" μάλιστα δέ τ' ἔκλυον αὐτοῦ.
Ὣς εἰπὼν παρέπεισεν, ἐπεὶ διαεπέφραδε πάντα.
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός.
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῶι ἐγκάτθετο θυμῶι
αὐτίκα δ' ἥ γ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα
λισσομένη δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στοναχίζων·
ἀλλ' ἔτι που μέμνητο ἐφετμέων, ἃς ἐπέτελλεν,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
ἡ δ' αἰεὶ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
πολλῇσίν τ' ἄτῃσι παρὲκ νόον ἤγαγεν ἀνδρὸς
μεμνῆσθαι πόσιος καὶ ἐδητύος ὅττι τάχιστα L2[O]
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ 𝔸
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὄπασσεν
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν,
τῶν αἳ νῦν γεγάασι, καὶ αἳ μετόπισθεν ἔσονται.
ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶ ἔργα βάληται.
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
ἥ μεγὰ ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο
οὐλομένη, ἣ πολλὰ κάκ' ἀνθρώποισιν ἔθηκε,
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν,
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν.
ἀλλά γε οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
ἀλλ' αὐτός γ' ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ἀνάσσει,
υἱὸν ἀναστήσας ἀγαπήνορα λαομέδοντα
ὃς ἤιδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα
πατρὸς ἑοῖο φίλοιο, φρένας τε καὶ εἶδος ὁμοῖος
ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκεν
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω;
οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν.

οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.
οὐχ ὁράαις ὅτι δ' αὖτε βροτοὶ ἐπ' ἀπείρονα γαῖαν
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα μηχανόωνται,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας;
οὐχέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
οὐ γάρ τοι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων.
οὔ τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιός ἐστιν
σκηπτοῦχος βασιλεύς, οὐδὲ φρεσὶν αἴσιμα εἰδώς,
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι.
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο.
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνοι
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθηι.
αἰεὶ τοῖσιν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
πάντες δ' εὐχετόωντο κελαινεφέϊ Κρονίωνι,
τοῖς θ' ὑποταρταρίοις, οἵ Τιτῆνες καλέονται
σχέτλιοι, οὔτε δίκας εὖ εἰδότες οὔτε θέμιστας.
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας,
L2[I] ↔
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
𝔸
τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες.
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ἠέρι καὶ νεφέληι κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
εἴα ἵστασθαι. χαλεπὸς δέ τις ὤρορε δαίμων
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.
ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτά.
ἀλλὰ καὶ ὥς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.
ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει
οὐρανόθεν καταβὰς ἐξ αἰθέρος ἀτρυγέτοιο.
σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον.
καὶ δὲ σοὶ αὐτῶι θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
◆ σοὶ δὲ αὐτῶι μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
εἰ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω
ἱέμενοι κτεῖναι, καὶ ἀπὸ κλυτὸν εὖχος ἀμέρσαι.
ἀλλὰ σὺ τούς γ' ἐπέεσσι παραιφάμενος κατέρυκε,
Eudocia Homeric Centos
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
φθέγγεο δ' ἧι κεν ἴησθα, καὶ ἐγρήγορθαι ἄνωχθι
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῶι.
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
δῆθα γὰρ αὔτως εἴσηι ἑκάστου πειρητίζων.

εὐνῆι ἔνι μαλακῆι, θαλέων ἐμπλησάμενος κῆρ,
ἔσθων καὶ πίνων, οἷα βροτοὶ ἄνδρες ἔδουσιν,
κάλλεϊ καὶ χάρισι στίλβων. θηεῖτο δὲ κούρη,
μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα.
καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον. οὐ γὰρ ἐῴκει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
οὐ γάρ πω τοιοῦτον ἴδε βροτὸν ὀφθαλμοῖσιν,
οὔτ' ἄνδρ', οὔτε γυναῖκα· σέβας δ' ἔχεν εἰσορόωσαν.
αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἶξέν γ' ἐς πεδίον πυρηφόρον, ἔνθα δ' ἔπειτα
κῆρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς,
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων,
ἀμφότερον κῦδός τε καὶ ἀγλαΐην καὶ ὄνειαρ.
τῆι ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων
ὁπλότερος γενεῆι, ἀλλὰ πρότερος καὶ ἀρείων.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων,
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή,
ὅς τις ἐπίστατο ἧισιν ἐνὶ φρεσὶν ἄρτια βάζειν.
κηρύσσων βοάασκε λιγύς περ ἐὼν ἀγορητής.
βῆ δ' ἴμεν εἰς ἀγορὴν, ἅμα δ' ἔσπετο πουλὺς ὅμιλος.
πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω.
καρπαλίμως δ' ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι.
τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στοναχίζετο γαῖα.
οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο. L2[I]
στῆ ῥα μέσηι ἀγορῆι, σκῆπτρον δέ οἱ ἔμβαλε χειρί. 𝔸
στὰς δ' ἐν μέσσοισιν προσεφώνεεν ἠπύτα κῆρυξ.
"ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα.
ἀνδρῶν δ' ἐν πολλῶι ὁμάδωι πῶς κέν τις ἀκούσαι,
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
κέκλυτέ μευ, πάντες μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
αἰδοῖος νεμεσητὸς ὅ με προέηκ' ἀγορεῦσαι·
καί μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω.
πάντων δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω.
ἀλλ' αἰεὶ τινὰ φῶτα μέγαν καὶ καλὸν ἐδέγμην
ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκήν,
ὅς μευ φέρτερός ἐστι νοῆσαί τε κρῆναί τε.
πρεσβύτερος δ' ἐγώ εἰμι· βίηι δ' ὅ γε πολλὸν ἀμείνων.
κρείσσων γὰρ ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ.
κάρτεϊ τε σθένεϊ τε διακριδόν ἐστιν ἄριστος
σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοί.
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
κλῦτέ μευ· αὐτὰρ ἐγὼ μυθήσομαι ὡς ἐνὶ θυμῶι
ἀθάνατος βάλλησι καὶ ὡς τελέεσθαι ὀΐω.
καὶ γὰρ ἐκείνωι φημὶ τελευτηθῆναι ἅπαντα.
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευσεν,
ἢ οἱ μάντιές εἰσι θυοσκόποι ἢ ἱερῆες,
Eudocia Homeric Centos

ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
ὅσσα δ' ἄρ ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντηι,
δὴ τότε τόν γε ἄνακτα χόλος λάβεν οἷον ἄκουσε.
καί ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσεν
νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.
θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε στοναχάς τε.
πολλὰ δ' ἀτάσθαλ' ἔρεξε βίηι καὶ κάρτεϊ εἴκων,
πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν.
νήπιος· ἧ τε πολέσσιν ἐπ' αὐτῶι θυμὸν ἀπηύρα
νηπιάχοις· ξυνὸν δὲ κακὸν πολέεσσιν ἔθηκε
κτείνας ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα.
τῶι κέν πως λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξε
σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων;
ὅς ῥ' ἔθελε κτεῖναι καὶ ἀπορραῖσαι φίλον ἦτορ,
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον. οὐδέ νύ πώ μιν
ἔγνω ὡς θεός ἐστιν. ὁ δ' ἀσπερχὲς μενέαινε,
τὰ φρονέων ἀνὰ θυμὸν ἅ ῥ' οὐ τελέεσθαι ἔμελλεν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῶι.
ἀργαλέος γάρ τ' ἐστι θεὸς βροτῶι ἀνδρὶ δαμῆναι,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν.
τὸν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος,
L3[O]↔ ὁρμαίνουσ' εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων.
𝔸 δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρωι
δεινὸς ἀνήρ. τάχα κεν καὶ ἀναίτιον αἰτιόωιτο.
τῶι οὔτ' ἂρ φρένες ἦσαν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣς ἄγρια οἶδεν.
νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα καὶ κατὰ θυμόν,
ὅττι μάλ' οὐ δηναιὸς ὃς ἀθανάτωι γε μάχοιτο,
οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν.
τοῦ δὲ γυναικὸς μέν τ' ἀμφίδρυφοί εἰσι παρειαί.
οὐδὲ γὰρ οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα,
νοστήσαντ' οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν,
εὐφρανέειν ἄλοχόν τε φίλην νήπια τέκνα,
ἀλλ' αἰεί τε θεοῦ κρείσσων νόος ἠέ περ ἀνδρός.
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην.
ἤδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
◆ πεμπταῖοι δ' Αἴγυπτον ἐϋρρείτην ἀφίκοντο
δειδιότες· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῆι.
ἀλλ' ὅτε δὴ καὶ ἐκεῖνος ἔβη δόμον Ἄϊδος εἴσω,
ὅς ῥ' ἔθελε κτεῖναι καὶ ἀπορραῖσαι φίλον ἦτορ,
ἂψ δ' ἂρ ἀπ' Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,

γνοίης δ' οἵ τινές εἰσιν ἐναίσιμοι οἵ τ' ἀθέμιστοι,
ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι
ἠμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῶι,
ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾶι τοῖον ἐόντα.
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι οἷα μενοινᾶις.
καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴης
αἴ κε θάνηις καὶ μοῖραν ἀναπλήσηις βιότοιο
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω.
ὃς δ' ἂν ἀμύνων αὐτὸς ἔηι καὶ ἀμύμονα εἰδῆι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
καί οἱ πάντα γένοι το ὅσα φρεσὶν ἧισι μενοινᾶι.
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπηι
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
αἰεί τοι τούτωι γε πόνος καὶ κήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρήσουσιν ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι.
ἀνδρῶν δ' εἴ πέρ τίς σε βίηι καὶ κάρτεϊ εἴκων
οὔ τι τίει, σοὶ δ' ἔστι καὶ ἐξοπίσω τίσις αἰεί.
ἔκ τε καὶ ὀψὲ τελεῖς, σύν τε μεγάλωι ἀποτίσεις.
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεὸς κάρτιστος ἁπάντων,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα,
τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.
τόνδ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός,
"οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. L3[O]
τοῖος ἔω οἷός ἐσσι. τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ. 𝔸
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι.
ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζηι
γινώσκω, φρονέω. τά γε δὴ νοέοντι κελεύεις.
πάτερ, σύ μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις
ὥς τε πατὴρ ὧι παιδί, καὶ οὔ ποτε λήσομαι αὐτῶν.
αὐτὰρ ἐγὼ θυμῶι νοέω καὶ οἶδα ἕκαστα.
ὦ πάτερ, οὔτ' ἄρ τι μεγαλίζομαι οὔτ' ἀθερίζω
οὔτε λίην ἄγαμαι, μάλα δ' ἐῶ οἶδ' οἷος ἔησθα.
ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσ' ἐθέλησθα.
οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπηις.
ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
εἴπερ μοι καὶ μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις
αὐτὸς ὧι θυμῶι, εἰδῶσι δὲ πάντες λαοὶ
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
βουλοίμην δ' ἂν ἔγω γε καὶ ἄλγεα πολλὰ μογήσας,
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος· οὐδέ μοι αὐτῶι
θυμὸς ἐνι στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.
βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι,
πάσχειν τ' ἄλγεα πόλλα, βίας ὑποδέγμενον ἀνδρῶν.

μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω."
καὶ τότ' ἄρ' ἄγγελον ἧκεν, ὃς ἀγγείλειε γυναικὶ
βουλήν, ἥ ῥά τότε σφιν ἐφήνδανε μητιόωσι.
αὐτὰρ ὁ βῆ, μέγα γάρ ῥα θεοῦ ὤτρυνεν ἐφετμή,
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι.
καρπαλίμως δ' ἤϊξεν ἐπὶ χθόνα πουλυβότειραν
οὐρανόθεν καταβὰς διὰ αἰθέρος ἀτρυγέτοιο,
νύμφηι εὐπλοκάμωι εἰπεῖν νημερτέα βουλήν.
βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ὧι ἔνι κούρη
ἕζετ' ἐνὶ κλισμῶι· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι
ἀδμήτη, τὴν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
ἀνδρὶ φίλωι ἔπορον· ὁ δέ μιν πρόφρων ὑπέδεκτο,
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τευ ἄλλου,
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἑῇσιν.
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἀτέλεστα γένοντο.
ἤ τι ὀϊσσάμενός γ' ἢ καὶ θεὸς ὣς ἐκελεύσεν,
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
δέσποιναν μὲν πρῶτα κιχήσατο ἐν μεγάροισιν.
στῆ δ' αὐτῆς προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνομαζεν
κήρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς,
τυτθὸν φθεγξάμενος· τὴν δὲ τρόμος ἔλλαβε γυῖα.
L3[I] ↔ "θάρσει ὦ γύναι χαρίεσσα, μηδέ τι τάρβει·
𝔸 ἀλλ' ἐμέθεν ξύνες ὦκα· θεοῦ δέ τοι ἄγγελός εἰμι,
ὅς κέν με προέηχε τεῒν τάδε μυθήσασθαι.
χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰς ὅ κεν ἔλθοι
ἀνδράσιν ἠδὲ γυναιξὶν ἐπὶ χθόνα πουλυβότειραν
γῆρας καὶ θάνατος, τά τ' ἐπ' ἀνθθπώποισι πέλονται.
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
τοῖς οἵ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
χαῖρε, γύναι χαρίεσσα· περιπλομένου δ' ἐνιαυτοῦ
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάσσει
τῶν ἀνδρῶν οἵ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
νημερτὲς γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
τοῦ δή τοι κλέος ἔσσεθ' ὅσον τ' ἐπικίδναται ἠὼς
πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή."
ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη οὔτε νοῆσαι,
◆ καί δ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ.
τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχατο φωνή.
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι.
Eudocia ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
Homeric "ὦ φίλ', ἐπεί δή μοι καὶ ἀμείψασθαι θέμις ἐστί,
Centos τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾶι,

ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
τοῦτο μὲν οὕτω δὴ ἔστω ἔπος, ὡς εἴρηκας,
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει, μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
ἐλθών. πολλοὶ γὰρ κακὰ κήδεα βουλευονται."
τήνδ' ἀπαμειβόμενος προσέφη κήρυξ πεισήνωρ,
"καὶ δέ σοι ὧδ' αὐτῆι πολὺ κάλλιον, ὦ βασίλεια,
οἵην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι.
θάρσει μοι· ἐπεὶ οὔ τι ἄνευ θεοῦ ἥδε γε βουλή.
σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
ἀλλ' ἔχε σιγῆι μῦθον, ἐπίτρεψον δὲ θεῶι περ.
αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῶιδ' ἐνὶ χώρωι.
εἶμι μέν, οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅττι κεν εἴπηι.
ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι."
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο.
αὐτὰρ ὁ αὖτις ἰὼν πάϊς ὣς ὑπὸ μητέρα δύσκεν,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθε παρθένος ἁγνή
φάτνηι ἐφ' ἱππείῃ, ὅθι περ μώνυχες ἵπποι
ἔστασαν ὠκύποδες μελϊηδέα πυρὸν ἔδοντες.
ἡ δ' ὑποχυσσαμένη κρατερόφρονα γείνατο παῖδα.
ἐξάγαγέν τε φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς. L3[I]
τῶι δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνήρ. 𝔸
καλὸν δ' οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν. βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε
παναπάλωι οἷοί τε ἀνάκτων παῖδες ἔασι.
τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὥς.
ἀστὴρ δ' ὣς ἀπέλαμπεν. ἔκειτο δὲ νείατος ἄλλων,
κάλλεϊ παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών.
εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο
δεκνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί.
τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅς περ ἔφηνε
παῖδ' ἐόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπωι
μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα,
εἵματά τ' ἀμφιέσαντο θυώδεα καὶ λούσατο·
ἡ καὶ ἐθηήσατο φυὴν καὶ εἶδος ἀγητόν.
τὸν δ' ὁ γέρων ἐφύλασσε καὶ ἔτρεφεν ἠδ' ἀτίταλλεν.
δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονες ἀγνοτόκοιο
δῶρα, τά οἱ φέρον ἀστέρα δερκόμεν' ἀντολίηθεν,
μητρὶ παρ' αἰδοίῃ θέσσαν περικαλλέα δῶρα. Eudocia
τέρπετο δ' ἐν χείρεσσιν ἔχουσά περ ἀγλαὰ δῶρα Homeric
μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα Centos
χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δὲ ταῦτ' ἐνὶ οἴκωι
δεξαμένη, καὶ πάντα ἑῶι θηήσατο θυμῶι.

οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλός, ἐπὴν τὰ πρῶτα γένηται,
ἀλλ' ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι, τοκῆες.
εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε.
εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν,
οὔτ' ἄνδρ' οὔτε γυναῖκα· σέβας μ' ἔχει εἰσορόωσαν.
χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι,
μνήσηι ἐμεῖ', ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις.
τῶι κέν τοι καὶ κεῖθι θεῶι ὣς εὐχετοώιμην
αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβιώσαο κούρην.
ὦ ξεῖν, ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
ὦ ξεῖν', ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι.
εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους εἴπω τε ἕκαστα."
ὣς ἄρα φωνήσασ' ἀπεβήσατο, τὸν δ' ἔλιπ' αὐτοῦ.
ἣ δ' ἔθει οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε.
αὐτὰρ ἐπὴν πόλιος ἐπεβήσατο ἣν πέρι πύργος
ὑψηλός, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος.
θάμβησεν κατὰ θυμόν· ὀΐσατο γὰρ θεὸν εἶναι.
αὐτίκα καὶ πᾶσιν μυθήσατο ἀνθρώποισιν·
"δεῦτ' ἄγε, Σικήμων ἡγήτορες ἠδὲ μέδοντες
εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
ὅς πέρ μοι βίον εἶπε καὶ ἔργματα καὶ γόον αὐτόν,
ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας,
L1[O] ✦ τί πρῶτον τί δ' ἔπειτα τί δ' ὑστάτιον καταλέξω;
𝔹 ἰητρὸς δὲ ἑκάστωι ἐπιστάμενος περὶ πάντων
ἀνθρώπων· ἦ γὰρ Παιήονός ἐστι γενέθλης.
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι.
αὐτὰρ ἐγὼ τῶι πάντα κατὰ μοῖραν κατέλεξα.
ὅσσ' ἔρξα τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησα βίωι κεν,
ὅττι μοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.
αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
νῦν δέ γε κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἔρεσθαι
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ' ἐξ εὔχεται εἶναι
γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα.
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωιτο
ὧι αὐτοῦ γε νόωι, ὅτε μὴ θεός αὐτὸς ἐπελθών
ῥηϊδίως ἐθέλων θείη νέον ἠδὲ γέροντα.
ὥς τέ μοι ἀθάνατός γ' ἰνδάλλεται εἰσοράασθαι
✦ ἄλλωι δ' αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκε.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνήρ."
ὣς εἰποῦσ' ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
καρπαλίμως δ' ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι
ἀγρομένων· πολλοὶ δ' ἄρα θηήσαντο ἰδόντες·
χερσίν τ' ἠσπάζοντο καὶ ἐδριάασθαι ἄνωγον
βηλῶι ἔπι λιθέωι· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἓ ἕκαστος,

Eudocia Homeric Centos

ἐκ πεδίων δ' ἄξαντο βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο,
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο
δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης,
ἄστωι τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι.
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθοντ' ἀμφὶ σιδήρωι
σφαζόμενοι, πολλαὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῆι,
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο.
οἱ δ' ἤδη μοίρας τ' ἔνεμον κερόωντό τε οἶνον,
στήσαντες κρητῆρας ἐπιστεφέας οἴνοιο.
ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέος, ὄφρ' ἐθέλητον.
κήρυκες δ' αὐτοῖσι καὶ ὀτηροὶ θεράποντες
δεξάμενοι κατέθεντο πόσιν καὶ βρῶσιν ἅπασαν.
οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
νίζον καὶ προτίθεντο ἰδὲ κρέα πολλὰ δατεῦντο.
οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
οἱ δὲ ἕως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρόν,
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζονται ἀοιδοῦ,
πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον
δαίνυνθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο
οἶνον οἰνοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν. L1[O]
ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα. 𝔹
πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῶι χεῖρας ἔχοντες.
τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
εἵατ' ἐϋννήτους, ἦκα στίλβοντας ἐλαίωι.
ἦμος δ' ἐκ κεράμων μέθυ πῖνον τοῖο ἄνακτος,
οἶνον δὲ φθινύθοντες, ὑπέρβιον ἐξαφύοντες,
ἔνθά οἱ ἠπιόδωρος ἐναντίον ἤλυθε μήτηρ,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τέκνον, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε
οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας,
δαίνυ δαῖ τα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές,
ὥς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄροιο,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.
ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι,
ἐν δ' ὕδατ' ἀενάοντα· δύω τέ οἱ θύραι εἰσίν.
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;"
ὣς φάτο. τὴν δ' ἀπαμειβόμενος προσέειπεν ἔπεσσι,
"τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ.

αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἱκάνει,
τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ἔργων."
αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε,
"καρπαλίμως μοι, τέκνα φίλα, κρήνατ' ἐέλδωρ.
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰόντες
ὕδωρ ἐκ πηγῶν, ὅθεν ὑδρεύονται πολῖται."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο
δώδεκα δ' ἔμπλησαν καὶ πώμασιν ἦρσαν ἅπαντας.
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα.
αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν.
αὐτὰρ ἐπεί ῥ' ἐνέηκε κέλευσέ τε οἰνοχοῆσαι,
κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο,
οἶνον δ' ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσιν,
κίρνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
νώμησάν τ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα,
εἵατο δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖσο,
φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ,
 δύσατό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
 κοίτου τε μνήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
βῆ ῥ' ὁ μὲν ἐκ θαλάμοιο θεῶι ἐναλίγκιος ἄντην.
ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
κεῖτ' ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν
τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπωι,
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
ἤιδη τειρόμενος· χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἴς ἔμπεδος οὐδέ τι κίκυς,
οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐδ' ὀρθὸς δύνατο στῆναι ποσὶν οὐδὲ νέεσθαι
οἴκαδ', ὅπῃ οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται.
κεῖτο δ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος.
οὔ πώ μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόωι τε
◆ κεῖτο ὀδυρόμενος φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς.
ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον αἰὲν ἐόντα,
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβῶντα,
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,

αὐτοῦ κεν προπάροιθε ποδῶν βάλον ἐν κονίῃσι.
δάκρυά τ' ἔκβαλε πολλά· ἔπος δ' ὀλοφυδνὸν ἔειπεν
νειόθεν ἐκ κραδίης· οὐδ' ἐν μέσσοισιν ἀναστάς.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
"αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν."

πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ·
κούρῃ δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ,
ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσατο καλλιρέεθρον
Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκεν.
ἔνθα καθέζετ' ἰών, τῇι δ' ἐξερέεινεν ἕκαστα.
μειλιχίοις δ' ἐπέεσσι καθαπτόμενος προσέειπεν·
"τίφθ' οὕτω ἀνδρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι ἠδὲ μεταλλᾷς;
καὶ δ' ἄλλην νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι·
ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων,
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀποσταίη, ὅς τοι κακὰ πόλλ' ἐμόγησε.
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο.'"
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτε τελεύτα.
ὣς ἔφατ'· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
ἀνδρὶ φίλωι· ὁ δὲ πάντα νόει καὶ ἀμείβετο μύθωι·
"ἄστυ τέ μοι δεῖξον, δός μοί θ' ὕδωρ κορέσασθαι."
ἡ δ' ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ' ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν.
τὸν δ' αὖτε προσέειπε γυνὴ καὶ ἀμείψατο μύθωι
οὔδει ἐνισκίμψασα καρήατι· αἴδετο γάρ μιν
"ξεῖνε, ἐπεὶ θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν,
οὔτέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον· αἰδέομαι γάρ.
ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνόημων. L1[I]
ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε 𝔹
ἄλλα παρὲξ εἴποιμι παραβλήδην ἀπατήσων.
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
πᾶσαν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους εἴπω τε ἕκαστα.
ἔρχεο· ἶσον γάρ σε θεῶι τείσουσιν ἅπαντες,
ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ.
ξεῖν, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ' οὖν ἐσθῆτος δευήσεαι οὔτε ποτῆτος.
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι.
κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
ὅς κέ σε ἕδνοισι βρίσας οἶκόνδ' ἀγάγηται.
ξεῖν', ἦ τοι μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησα,
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ξεῖν', ἐπεὶ οὔτε κακῶι οὔτ' ἄφρονι φωτὶ ἔοικας.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐῢ εἰδῶ·
τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ.
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον πατήρ τε μήτηρ τε,
ἄλλοι θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης.

Eudocia Homeric Centos

ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ἐγγὺς ἐόντα
καρπαλίμως· ὁ δὲ ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
δάκρυα δ' ἔκβαλε θερμά, ἔπος δ' ὀλοφυδνὸν ἔειπε·
"κέκλυθι νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει.
οὐ γάρ πω μύσαν ὄσσε ἐπὶ βλεφάροισιν ἐμοῖσιν,
ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω·
κρῆνον νῦν καὶ ἐμοὶ δειλῆι ἔπος, ὅττι κεν εἴπω.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, οὐδέ μοι αἷμα
τέρσεται, ἀλλὰ μάλ' ὦκα κατειβόμενον κελαρύζει.
πολλοῖσιν δ' ἄρ' ἐγὼ δὴ ὀδυσσαμένη τόδ' ἱκάνω
ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα βωτιάνειραν.
ὥς μ' ὄφελ' ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ,
εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα.
ἔνθα μὲ κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται, ἠδὲ τίθησι
φάρμαχ' ἅ κεν παύσηισι μελαινάων ὀδυνάων.
πολλάκις ἐν μεγάροισι καθημένη ἡμετέροισιν,
ἄλλοτε μέν τε γόωι φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι.
ἔρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
ὥς σε, ἄναξ, ἄγαμαί τε τέθηπά τε δείδιά τ' αἰνῶς
γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει."
αὐτῶι δ' οὔ πω φαίνετ' ἐναντίη· αἴδετο γάρ ῥα·
L2[O] ↔ χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα.
𝔹 αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῶι.
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε,
"ἦ χαὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ ἐΐσκεις.
ἐν θυμῶι, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.
ἡ δ' ἄρα ἔγνω ᾗσιν ἐνὶ φρεσὶ γήθησέν τε,
ὅττι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένης κεν.
ἡ δ' ὅτε δὴ οὗ πατρὸς ἀγακλυτὰ δώμαθ' ἵκανε,
κέκλετό γ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα·
ἡ δ' εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν,
◆ καὶ δή γ' ἱστὸν ὕφαινε μυχῶι δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε.
ἣ δ' αὖτις δμωιῇσιν ἐϋπλοκάμοισι μετηύδα,
"δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ' ὅτιν' ἔργα τέτυκται."
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
καὶ τότε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν,
ἄστεος ἐγγὺς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται.
ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,

ἐξαῦτις δ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν.
"κλῦθί μοι, ὃς χθιζὸς θεὸς ἤλυθες. οὐ γὰρ ἐμοὶ ἴς
ἔσθ' οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσι,
καὶ μένος οὐ τόσον ἦισν ἐνὶ στήθεσσιν ἐμοῖσι.
ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα διαμπερὲς ἤματα πάντα
εὔχομαι ὥς τε θεῶι καί σευ φίλα γούναθ' ἱκάνω,
πολλὰ παθών· νῦν αὖ με τεῆις ἐν χερσὶν ἔθηκα.
αὐτὸς δ', αἴ κ' ἐθέλῃς, ἰήσεαι, οὐδέ τις ἄλλος·
γῆρας ἀποξύσας θήσει νέον ἡβώωντα.
ὦ ἄνα, εἴθ', ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν,
ὣς μοι γούναθ' ἕποιτο βίη δέ μοι ἔμπεδος εἴη.
γουνοῦμαί σε ἄναξ, σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφές, αἰδοίοιο.
πάρ γὰρ σοὶ πρώτωι πασάμην Δημήτερος ἀκτήν."
ὣς φάτο· τοῦ δ' ἔκλυε μέγας θεὸς εὐξαμένοιο.
δεξιτερῆς δ' ἕλε χειρὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν
"ἆ δεῖλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ σ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν.
οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
ἂψ ἀπονοστήσεις, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος. ἄντα σέθεν γὰρ
οὔ τις ἀνὴρ προπάροιθε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω
ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω, L2[O]
ὄφρα γνῶις κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλοι, 𝔹
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο. σέβας δέ σε θυμὸν ἱκέσθω.
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ."
αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισιν ἔειπεν,
"ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίωι
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι.
μήτέ τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον."
ὣς εἰπὼν ἔπνευσε μένος μέγα. τὸν δ' ὀρόθυνεν·
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνασιν ἔθηκε,
οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι,
μηροῖς τε κνήμαις τε καὶ ἄμφω χερσὶν ὕπερθεν.
αὐτὸς δ' ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι.
τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
"ὦ φίλε ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
ἐν σήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε."
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας.
αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
πάντηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας, αὐτίκα δ' ἔγνω
γήραϊ τειρόμενον, μέγα δ' ἐν φρεσὶ πένθος ἔχοντα.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθῆναι,
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι.

ἔγνω δ᾽ αὐτίκα κεῖνον, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι.
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα,
δάκρυ ἀναπρήσας· οἶκτος δ᾽ ἕλε λαὸν ἅπαντα.
“εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
πρὸς δ᾽ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέησον.
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἀπαΐσσονται ἐλαφραί.
ἔνθεν δὴ νῦν δεῦρο τόδ᾽ ἥκω πήματα πάσχων.
αὐτὸς δ᾽ αἴ κ᾽ ἐθέλῃς ἰήσεαι, οὐδέ τις ἄλλος.
εἴθ᾽ ὡς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη.
ὣς ἄρ᾽ ἔπειτ᾽ ἠρᾶτο καὶ αὐτὸς πάντα τελεύτα.
τὸν δ᾽ αὖ γε προσέειπε Θεοκλύμενος θεοειδής,
“ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.”
αὐτίκ᾽ ἔπειθ᾽ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.
γυῖα δὲ θῆκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνασιν ἔθηκε.
βῆ δ᾽ ἴμεν **ὥς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς,**
καγχαλόων, ταχέες δὲ πόδες φέρον. αἶψα δ᾽ ἔπειτα
ὑψόσ᾽ ἀνέσχετο λέκτρα καὶ εὐχόμενος δ᾽ ἔπος ηὖδα.
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
καί ῥ᾽ ἦγον προτὶ ἄστυ, ἀέλποντες σόον εἶναι.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
“ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
ἀλλ᾽ οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν.
ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε.
L2[I] ↔ οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
𝔹 ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῷ.”
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς,
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκε.
τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
σπερχομένη. τοίων γὰρ ἐπείγετο χέρσ᾽ ἐρετάων.
ἐν δ᾽ ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
στείρῃ πορφύρεον μεγάλ᾽ ἴαχε νηὸς ἰούσης.
ἡ δ᾽ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
ἡ δὲ μάλ᾽ ἀσφαλέως θέεν ἔμπεδον. **οὐδέ κεν ἴρηξ**
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.
ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ᾽ ἔτεμνεν,
ἄνδρα φέρουσα θεῷ ἐναλίγκια μήδε᾽ ἔχοντα.
ἔνθ᾽ ἐκ πόντου βὰς ἰοειδέος ἤπειρόνδε,
βῆ ῥ᾽ ἀν᾽ ὁδὸν μεμαώς. τὸν δὲ φράσατο προσιόντα
πληθύς, ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ,
◆ χωλοί τε ῥυσσοί τε παραβλῶπές τ᾽ ὀφθαλμῶν,
νύμφαι τ᾽ ἠΐθεοί τε πολύτλητοί τε γέροντες.
πολλοὶ δὲ ξεῖνοι ταλαπείριοι ἐνθάδ᾽ ἵκοντο.
ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.
αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
ὄφρ᾽ ὅ γε ταῦτ᾽ ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι,
τόφρα δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν.
βῆ δ᾽ ἴμεν ἀγγελέων διὰ δώματα ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων, φάτο δ᾽ ἀγγελίην ἀλεγεινήν.

δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ᾽ ἐλεαίρεις
ἄνδρα γέροντα, δύῃ ἀρήμενον, ἥ μιν ἱκάνει,
καὶ μάλα τειρόμενον καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
ὣς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
στήῃς· ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο.
πέμπω δ᾽ ὅππῃ σε κραδίη θυμός τε κελεύει.”
ὣς ἄρ᾽ ἐφώνησεν, τοὶ δ᾽ ἐφθέγγοντο καλεῦντες,
“ἴομεν, ὡς ἐκέλευσας, ἀνὰ πληθύν κε συῶν γε.”
αὐτίκ᾽ ἔπειθ᾽ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον
ῥηϊδίως. πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ,
ἔσθοντες βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
πίνοντες, τά θ᾽ ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν,
κύμασιν ἐμφορέοντο, θεὸς δ᾽ ἀποαίνυτο νόστον.
ἐν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ αἰπὰ ῥέεθρα,
ὄχθαι δ᾽ ἀμφὶ περὶ μεγάλ᾽ ἴαχον· οἳ δ᾽ ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι περὶ δίνας.
καί ῥ᾽ ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
βάλλον· ἄφαρ δὲ κακὸς κόναβος συβότεσσιν ὀρώρει
χοίρων τ᾽ ὀλλυμένων ἀγελῶν τε σκιδνομενάων.
τρέσσαν δ᾽ ἄλλυδις ἄλλη ἐπ᾽ ἠϊόνας προὐχούσας.
ὣς οἱ τὰς ὤλεσκον λιμένος πολυβενθέος εἴσω.
ἀσπάσιον δ᾽ ἄρα τόν γε θεὸς κακότητος ἔλυσεν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
“χαῖρέ μοι, ὅττι μ᾽ ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς. L2[I]
πλαγκτοσύνης δ᾽ οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν. 𝔹
ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς κακὰ κήδε᾽ ἔχουσιν
ἀνέρες, οὓς ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.”
καί ῥ᾽ ἦγον προτὶ ἄστυ, ἀελποντες σόον εἶναι.
θάμβησαν δ᾽ ἄρα πάντες, ἐς ἀλλήλους δὲ ἴδοντο.
οἱ δ᾽ ἄνεῳ ἐγένοντο δόμον κάτα φῶτα ἰδόντες.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
“ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν,
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσεν.
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ᾽ ἀγοράων
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον.
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησεν.
ὢ πόποι, ὡς τόνδ᾽ ἄνδρα θεὸς κακότητος ἔλυσεν.
οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
ἀνδράσιν, οὔτε φυὴν οὔτ᾽ ἂρ φρένας οὔτ᾽ ἀγορητύν.”
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἔσκε δὲ πατρὸς ἑοῖο γυνὴ Φοίνισσ᾽ ἐνὶ οἴκῳ,
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ᾽ εἰδυῖα
κέρδεά θ᾽, οἷ᾽ οὔ πώ τιν᾽ ἀκούομεν οὐδὲ παλαιῶν.
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε
ἥτις τοι νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ
θυμὸν ἀποπνείουσ᾽, **ὥς τε σκώληξ ἐπὶ γαίῃ**
κεῖτο ταθεῖσ᾽· ἐκ δ᾽ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
ἠρώτα δήπειτα τίς εἴη καὶ πόθεν ἔλθοι'

ὄψεαι, ἣν ἐθέλησθα καὶ αἴ κέν τοι τὰ μεμήληι
ὀφθαλμοῖσι τεοῖσι τά τ' ἔλδεαι ἤματα πάντα.
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
ἦ μέν σ' ἐνδυκέως ἀποπέμπομαι, ὄφρ' ἂν ἵκηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί,
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον εἴη.
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων.
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.
αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπώσατ' ὀμίχλην.
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλεν, ἣ πρὶν ἐπῆεν,
θεσπεσίην. ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα,
πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν.
τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
"νῦν δ' ἔρχευ πρὸς δῶμα, καὶ ἴσχεο μηδ' ὀνομήνηις
μηδέ τωι ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν."
ἦ τοι ὁ μὲν χαίρων ἐπιβήσατο πατρίδος αἴης,
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα. πολλὰ δ' ἀπ' αὐτοῦ
δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
θάμβησαν δ' ἄρα πάντες ἐπ' ἀλλήλοισιν ἰδόντες.
οἱ δὲ πανημέριοι μολπῆι θεὸν ἱλάσκοντο
ἐν μεγάλωι ἀδύτωι ἀκέοντό τε κύδαινόν τε.
ἀλλ' ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
δεσμῶι ἐν ἀργαλέωι δέδετο, κρατέρ' ἄλγεα πάσχων.
L3[O] ↔ φοίτα δὲ μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ' ἱκάνεν.
𝔹 στὰς δ' ὅτε μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει.
ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο,
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,
δηρὸν τηκόμενος, στυγερὸς τέ οἱ ἔχραε δαίμων.
ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν.
χαῖται δ' ἐρρώοντο μετὰ πνοιῆις ἀνέμοιο.
αἰεὶ δ' ἀργαλέωι ἔχετ' ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς
πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πηι εἶχεν
ἀμπνεῦσαι· πάντηι δὲ κακὸν κακῶι ἐστήρικτο.
τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὕπο φαίδιμα γυῖα.
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
κὰδ δ' ἔπεσ' ἐν κονίηισι μακών, σὺν δ' ἤλασ' ὀδόντας
λακτίζων ποσὶ γαῖαν. ἀτὰρ μνηστῆρες ἀγαυοὶ
◆ χεῖρας ἀνασχόμενοι μεγάλ' εὐχετόωντο ἕκαστος.
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί.
κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον σώζοντες ἀνάγκηι
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
τὸν δὲ ἰδὼν ᾤκτειρε θεὸς καί μιν προσέειπε,
"τίς πόθεν εἰς ἀνδρῶν, ὅ μεν ἔτλης ἀντίον ἐλθεῖν;
δυστήνων δέ τε παῖδες ἐμῶι μένει ἀντιόωσι.
δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι οὕτως;

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
"πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
παρθένος αἰδοίη, Χαρίτων ἄπο κάλλος ἔχουσα,
ἣν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ,
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε.
ἤ μ' ἐφίλει τ' ἐκόμει τε· τί τοι τόδε μυθολογεύω;
νούσωι ὑπ' ἀργαλέηι φθίνεται οἷς ἐν μεγάροισιν
λευγαλέωι θανάτωι, ὡς μὴ θάνοι ὅς τις ἔμοιγε
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
ταῦτά τοι ἀχνύμενός περ, ἀληθείην κατέλεξα.
ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσηις."
τόνδ' αὖτε προσέειπε θεοκλύμενος θεοειδὴς"
"ὣς οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος ὡς ἀγορεύεις,
ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.
οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος.
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων.
καὶ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι.
ἀλλ' ἄγ', ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ ἴδωμαι."
ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλληι
βῆ δ' ἴμεναι προτέρως. ἑτέρηφι δὲ λάζετο Πέτρον,
ὅς οἱ κήδιστος ἑτάρων ἦν κεδνότατός τε·
ἄλλους θ', οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν.
αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὖ ναιετάοντας,
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω.
ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα L3[O]
ἑζέσθην δ' ἂρ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε. 𝔹
αἶψα δ' ἂρ εἴσβαινον καὶ ἐπὶ κληῖσι κάθιζον·
καδδραθέτην δ' οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῶι τ' εἴχοντο καὶ οἰμωγῆι κατὰ ἄστυ.
θυγατέρες δ' ἀνὰ δώματα ἰδὲ νυοὶ ὠδύροντο
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δακρὺ χέουσα
θυγατέρ' ἰφθίμην, τὴν ὁπλοτάτην τέκε παίδων.
ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε καὶ λάβε γούνων
οἴκτρ' ὀλοφυρομένη. περὶ δὲ δμωιαὶ μινύριζον
πᾶσαι, ὅσαι κατὰ δώματ' ἔσαν νέαι ἠδὲ παλαιαί.
τὸν μὲν ἄρ ἐν μεγάρωι δμωιαὶ καὶ πότνια μήτηρ
χερσίν τ' ἀμφαφόωντα καὶ ὀφθαλμοῖσιν ὁρῶντο
ἀχνύμεναι. μετὰ δέ σφι πατὴρ κίε δάχρυα λείβων.
τὸν δ' ἄχος ἀμφεξύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη.
τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
"ἆ δεῖλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
μηκέτι τοι θάνατος μελέτω φρεσὶ μηδέ τι θυμῶι
τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
ἔργοισιν τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
εὗδε τ' ἀνακλιθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα,
ἡδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείηισι πύληισιν."
οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῶι ἡδὺ γέλασσαν.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,

ἀλλὰ τοκῆε δύω προτέρω ἄγεν· ἐγγύθι δὲ στὰς
χεῖρ’ ἕλε δεξιτερὴν καί μιν πρὸς μῦθον ἔειπεν,
“ὄρσεο, μηδ’ ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱέσθω.”
ὣς ἄρ’ ἐφώνησεν, τῆι δ’ ἄπτερος ἔπλετο μῦθος.
ἕζετο δ’ **ὀρθωθείς**· ὁ δ’ ἐκέκλετο μακρὸν ἀΰσας·
“παύεσθον κλαυθμοῖο γόοιό τε δακρυόεντος.
καί τε δότ’, ἀμφίπολοι, κούρῃ βρῶσίν τε πόσιν τε.”
ἐκ δ’ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ’ ἄλλους.
πληθὺν δ’ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω.
κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες
λισσόμενοι· χρειὼ γὰρ ἱκάνετον. αὐτὰρ ὁ πάντων
χεῖρα ἑὴν ὑπερέσχε· τεθαρσήκασι δὲ λαοί.
ἄνδρες δ’ αἶψ’ ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν,
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
τόφρα δέ οἱ κομιδή γε θεῶι ὣς ἔμπεδος ἦεν.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
κλαῖε δέ κεν λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων.
αὐτὸς δ’ ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
πολλὰς δ’ ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
αὐτὰρ ὁ τῆι ἑτέρηι μιν ἑλὼν ἐλλίσσετο γούνων.
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα,
L3[I] ↔ “κλῦθι, ἄναξ, ὅτις ἐσσί· πολύλλιστον δέ σ’ ἱκάνω.
𝔹 οὔτε γάρ ἐσσ’ ἄφρων οὔτ’ ἄσκοπος οὔτ’ ἀλιτήμων,
ἀλλὰ μάλ’ ἐνδυκέως ἱκέτεω πεφιδήσεαι ἀνδρός.
καί μοι δὸς τὴν χεῖρ’, ὀλοφύρομαι· οὐ γὰρ ἔτ’ ἄλλον
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ’ ἐπέλθω,
οὐδ’ εἴ κεν πατερὸς καὶ μητέρος αὖτις ἵκωμαι
οἶκον, ὅθι πρῶτον γενόμην καί μ’ ἔτρεφον αὐτοί.
τοὔνεκα νῦν τὰ σὰ γούναθ’ ἱκάνομαι, αἴ κ’ ἐθθέλῃσθα
καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ’ ἱκάνω
τηλόθεν ἐξ ἀπίης γαίης· τῶι οὔ τινα οἶδα
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ ἔργα νέμονται.
ἧμαι δ’ ἐν μεγάροισι· ὀϊζυραὶ δέ μοι αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυ χέοντι.
νῦν δ’ ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην.
βούλομ’ ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι,
ἢ δηθὰ στρεύγεσθαι δύηι ἀρημένος αἰνῆι.
◆ ἀλλ’ ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
κλῦθι, ἄναξ, ἀγαθός μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν.
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρά κεν ἦισιν
ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.’
ὣς φάτο· τοῦ δ’ ἔκλυε μέγας θεὸς εὐξαμένοιο.
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
γούνατα δ’ ἐρρώσαντο, πόδες δ’ ὑπερικταίνοντο.
ὡς δ’ ἄρ ὅ κεν λαιψηρὰ πόδας καὶ γούνατ’ ἐνώμα,
ὡς ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνηι,
ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι.
ἄλλος δ’ αὖτις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
καδδέ οἱ ὀφθαλμῶν κέχυτ’ ἀχλύς· οὐδ’ ἄρ’ ἔτ’ ἔτλη
ὃς τόσον αὐδήσασχ’ ὅσον ἄλλοι **πεντήκοντα**
νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε γούνων,
λισσόμενος· χρειὼ γὰρ ἱκάνετον οὐκέτ’ ἀνεκτός.
καί ῥ’ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα,
“εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
κέκλυθι νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει.
ὦ ἄνα, οὐ γὰρ ἴσημι ὅπηι ζόφος οὐδ’ ὅπηι ἠώς,
οὐδ’ ὅπηι ἠέλιος φαεσίμβροτος εἶσ’ ὑπὸ γαῖαν,
οὔθ’ ὁπότ’ ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
οὔθ’ ὅτ’ ἂν ἂψ ἐπὶ γαῖαν ἀπ’ οὐράνοθεν προτράπηται.
ποίησον δ’ αἴθρην, δὸς δ’ ὀφθαλμοῖσιν ἰδέσθαι
ἠέλιόν τε ἀκάμαντα σελήνην τε πλήθουσαν.
γῆς ἐπέβην, ἀλλ’ αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν·
οὔτέ μοι ὀξύτατον κεφαλῆς ἐκ δέρκεται ὄσσε.
αὐτὸς δ’, αἴ κ’ ἐθέλῃσ’, ἰήσεαι, οὐδέ τις ἄλλος.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
πατρίδ’ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα
ὡς οὐδὲν γλύκιον ἧς πατρίδος ἠδὲ τοκήων
γίνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.
ἀλλά, ἄναξ, ἐλέαιρε. σὲ γὰρ κακὰ πολλὰ μογήσας, L3[I]
ἐς πρῶτον ἱκόμην. τῶν δ’ ἄλλων οὔ τινα οἶδα 𝔹
ἀνθρώπων, οἵ τήνδε πόλιν καὶ γαῖα ἔχουσιν.
σούς τε πόδας σά τε γούναθ’ ἱκάνω πολλὰ μογήσας,
ὥς κἀμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσεο πάτρης
καίπερ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰών.
τοὔνεκα νῦν τὰ σὰ γούναθ’ ἱκάνομαι, αἴ κ’ ἐθελησθα
αὐτόν με ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
ὣς φάτο· τοῦ δ’ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
τόν δ’ αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
“ὦ φίλ’, ἐπεὶ τόσα εἶπες ὅσ’ ἂν πεπνυμένος ἀνήρ,
οὕνεκ’ ἐπητής τ’ ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων,
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες.
γινώσκω δὲ καὶ αὐτὸς ὅ τι πινυτὴ φρένας ἵκει,
θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην.
θάρσει· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ’ ἐπαμύνω.
γνοίης χ’ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕποντο·
ἀλλ’ εἰ δή ῥ’ ἐθέλῃσθα καὶ ἀτρεκέως ἀγορεύεις,
ἐλπωρή τοι ἔπειτα φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ ἑὴν ἐς πάτριδα γαῖαν.
τῶι σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
οὕνεκ’ ἐπήτης τ’ ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων.
ἔλπεο δή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.

Eudocia Homeric Centos

καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα.
δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῶι.
μή τινα γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις.
σοὶ γὰρ δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι οὔτ' ἂρ ὀπίσσω
ἔσσονται· τῶ κέν μιν ἐπαυρήσεσθαι ὀΐω.
αὐτῶι σοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖ, ὣς ἀπόλοιο.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται.
τῶι οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα,
ἁψάμενος βρόχον αἰπὺν ἀφ' ὑψορόφοιο μελάθρου.
οὐδέ σε μὰν φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
τῶ σ' αὖ νῦν ὀΐω ἀποτισέμεν ὅσσά μ' ἔοργας.
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον.
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις;
τῶν οὔ τίς μ' ἀέκοντα βιήσεται αἴ κ' ἐθέλοιμι.
αἰὲν ἀναιδείην ἐπιειμένε, οὐδ' ἂν ἔμοιγε
τετλαίης κύνεός περ ἐὼν εἰς ὦπα ἰδέσθαι.
ἆ δεῖλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντο.
αὐτὰρ ὁ παρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
L1[O] ↔ ἑστήκειν ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
ℂ ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
τοὶ δ' ἄρ' ἐπαΐξαντες ἕλον, ἔρυσάν τέ μιν εἴσω·
ἕλσαν δ' ἐν μέσσοισι μετὰ σφίσι λῆμα τιθέντες.
πλείοσί τ' ἐν δεσμοῖσι δέον, μᾶλλόν τε πιέζευν,
ἀλλήλοισι γέλωτα καὶ εὐφροσύνην τιθέοντες.
ἐν δ' αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθὼς
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι ὡς εἰ θάνατόνδε κιόντα.
οἱ δ' ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν·
"τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων;"
ὣς ἄρα τις εἴπεσκεν· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι.
ἐκ δέ κεν εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι.
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
◆ "κλήρωι νῦν πεπάλασθε διαμπερές, ὅς κε λάχῃσιν
παῖδες ὑπέρθυμοι." καὶ ἐπὶ κλήρους ἐβάλοντο,
ἄλλος μὲν χλαῖναν ἐρύων, ἄλλος δὲ χιτῶνα.
ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν.
ἔστη δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
ὣς ὁ μὲν εἱστήκει, τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον.
φύζαν δ' οἷς ἑτάροισι κακὴν βάλον, οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη
σχέτλια ἔργ' ὁρόωσιν· ἀμηχανίν δ' ἔχε θυμόν.

ἀμφαγαπαζόμενοι ὡς εἰ θεοῦ υἱὸν ἐόντα.
πλῆντο δ' ἄρ' αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν.
ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
βῆ ῥ' ἀν' ὁδὸν μεμαώς· τὸν δ' ἐφράσατο προσιόντα
πληθύς, ὡς ὁπότε Ζέφυρος νέφεα στυφελίξῃ,
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες,
νύμφαι τ' ἠΐθεοί τε πολύτλητοί τε γέροντες·
χωλοί τε ῥυσσοί τε παραβλῶπές τ' ὀφθαλμῶν.
ἀλλ' οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἠϊόνος προπάροιθε βαθείης ἔστι χόωντο
ἠχῆι, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης
αἰγιαλῶι μεγάλωι βρέμεται, σμαραγεῖ δέ τε πόντος.
οὔτ' ἂρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς,
ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴπῃ;
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στοναχίζετο γαῖα
ἐρχομένων· μάλα δ' ὦκα διέπρησσον πεδίοιο,
ἠΰτε ἔθνεα εἶσι μελισσάων ἁδινάων
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων·
βοτρυδὸν τε πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν,
αἱ μέν τ' ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθα.
ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
ἠϊόνος προπάροιθε βαθείης ἔστι χόωντο.
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρύνας ἐχελεύσεν·
"ὑμῶν ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω, L1[O]
ὣς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρησθε, ℂ
τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
τοὺς νῦν χρὴ κομέειν. πρὸς γὰρ θεοῦ εἰσὶν ἅπαντες
ξεῖνοί τε πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε.
οὐ μὲν γάρ τι που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὄφρ' ἀρετὴν παρέχῃσι θεὸς καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεὸς μάκαρ ἐκτελέῃσι,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῶι.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγῃσι θεὸς πάντεσσιν ἀνάσσων.
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι,
λιμῶι δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
χρὴ ξεῖνον παρέοντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ.
ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνῃ καὶ ὃς ἐσσύμενον κατερύκῃ.

ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
μοίρας δασσάμενοι δαίνυσθ’ ἐρικυδέα δαῖτα.
δήμωι καί κε τότ’ ἀντήσαιατο δεῦρο μολόντες·
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
ὣς ἔφαθ’, οἱ δ’ ἄρα τοῦ μὲν κλύον ἠδ’ ἐπίθοντο.
καρπαλίμως δ’ ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι.
κινήτη δ’ ἀγορὴ ὡς κύματα μαχρὰ θαλάσσης.
σπουδῆι δ’ ἕζετο λαὸς, ἐρήτυθεν δὲ καθ’ ἕδρας.
ἐννέα δ’ ἕδραι ἔσαν, πεντηκόσιοι δ’ ἐν ἑκάστηι.
δὴ τότ’ ἔπειθ’ ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν·
ἄρτον τ’ οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,
εὔχετο· τοὶ δ’ ἅμα πάντες ὑπ’ αὐτόφιν εἵατο σιγῆι.
αὐτὰρ ἔπειτ’ ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβήν.
λαοὶ δ’ ἠρήσαντο θεῶι ἰδὲ χεῖρας ἀνέσχον.
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσι,
χεῖρας νιψάμενοι τεύχοντ’ ἐρικυδέα δαῖτα.
οἱ δ’ ἐπ’ ὀνείαθ’ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον,
ἐσσυμένως δ’ ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ’, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος
ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἦσαν ἄπαστοι.
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος,
ἐν καθαρῶι, ὅθι κύματ’ ἐπ’ ἠϊόνος κλύζεσκεν·
οἱ δὲ πανημέριοι μολπῆι θεὸν ἱλάσκοντο.
ἦμος δ’ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
L1[I] ↔ δὴ τότε κοιμήσαντο τεταρπόμενοι φίλον ἦτορ
ℂ σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
ὣς ὁ μὲν ἔνθα κατέσχετ’, ἐπειγόμενός περ ὁδοῖο,
εὖτε δὲ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
οἷον καὶ τόδ’ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι
εἰς Ἀΐδός περ ἐόντα πυλάρταο κρατεροῖο,
αὖθις ἀνεστήσαο ὑπὸ ζόφου ἠερόεντος.
δὴ τότε γάρ τις ἔειπε γυναικῶν, ἣ σάφα ἤδη,
οἴκτρ’ ὀλοφυρομένη, θαλερὸν κατὰ δάκρυ χέουσα·
“πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι,
λυγρῆς ἀγγελίης, ὅτι σοι φίλος ὤλεθ’ ἑταῖρος·
λυγρῆς, ἥ τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος.
τέτρατον ἦμαρ ἔην, καὶ τῶι τετέλεστο ἅπαντα,
◆ τύμβος τε στήλη τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ἀλλ’ εἴ τοι φίλος ἐστί, τεὸν δ’ ὀλοφύρεται ἦτορ,
ἀλλὰ σύ γ’ ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Eudocia νῦν ἐλέαιρε, ἄναξ. ἱκέτις δέ τοι εὔχομαι εἶναι.”
Homeric ὣς εἰποῦσ’ ὀλόλυξε, θεὸς δέ οἱ ἔκλυεν ἀρῆς.
Centos ὣς φάτο, τὸν δ’ ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
“ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπας·

καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν ἢ τάδε γ’ αἰὲν ἀεικέα ἔργ’ ὁράασθαι.”
καὶ τότ’ ἄρ ἄψορρον προσέφη δολίοις ἐπέεσσι,
ὃς κακὰ πόλλ’ ἔρδεσκεν ὅσ’ οὐ σύμπαντες οἱ ἄλλοι,
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.
κὰδ δ’ ἔθορ’ ἐς μέσσον· θάμβος δ’ ἔχεν εἰσορόωντας.
ἴθυσεν δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκὴν
καπρίωι, ὅς τ’ ἐν ὄρεσσι κύνας θαλερούς τ’ αἰζηοὺς
ῥηϊδίως ἐκέδασσεν, ἀλυξάμενος διὰ βήσσας.
καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσι ἐνῆκεν,
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδομέοιο
ἰσχανάαι δακέειν, λαρὸν τέ οἱ αἷμ’ ἀνθρώπου.
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσι,
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα
μειλιχίοις ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα·
“ὦ φιλ’, ἐπεί σε πρῶτα κιχάνω τῶιδ’ ἐνὶ χώρωι,
χαῖρέ τε καὶ μή μοί τι κακῶι νόωι ἀντιβολήσαις.
καὶ δέ σοι αὐτῶι θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
οἶδα δ’ ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.”
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
“ὦ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
φθέγγεο, μηδ’ ἀκέων ἐπ’ ἔμ’ ἔρχεο· τίπτε δέ σε χρεώ;
ἦ τινά που δόλον ἄλλον ὀΐεαι, οὐδέ τί σε χρή.
σχέτλιε, τίπτ’ ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι.
δαιμόνι’, οὔτε τί σε ῥέζω κακὸν οὔτ’ ἀγορεύω. L1[I]
αἰεί τοι τὰ κάκ’ ἐστι φίλα φρεσὶ μυθεύεσθαι. ℂ
ἐσθλὸν δ’ οὔτε τί πω εἶπας ἔπος οὔτ’ ἐτέλεσσας.
νηπύτι’, ὡς ἄνοον κραδίην εἶχες μενεαίνων.
ταῦτα μὲν οὕτω πάντα πεπείρανται: σὺ δὲ αἶψα
ῥέξον ὅ τι φρονέεις· τελέσαι δέ σε θυμὸς ἀνώγει.
πάντα με θαρσαλέως, κύον ἀδδεές, οὔ τί με λήθεις
ἔρδων κεν μέγα ἔργον, ὃ σῆι κεφαλῆι ἀναμάξεις·
μήτε τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε.
οὐ γὰρ τοὔνεκ’ ἐγώ σ’ αἰδήσομαι, οὐδὲ φιλήσω.
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής.
ὥς τοι ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί.
ἦ σ’ εὖ γινώσκων προτιόσσομαι· οὐ γὰρ ἔμελλον
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
εὖ νυ τὸ οἶδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ’ ὀλέσθαι.
ὥς γὰρ θέσφατόν ἐστι· σέθεν δ’ ἐγὼ οὐκ ἀλεγίζω
μαινομένου, οὐδ’ εἴ κε τὰ νείατα πείραθ’ ἵκηαι.
τῶν οὔ τίς μ’ ἀέκοντα βιήσεται, αἴ κ’ ἐθέλοιμι,
πάντα περ οἷον ἐμόν γε μένος καὶ χεῖρες, ἄαπτοι.
ὣς γὰρ πάντων τόσσον, ὅσοι κατὰ σώματ’ ἔασι
δρηστήρων, χείρεσσι βίηφί τε φέρτερος εἴην. Eudocia
οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ’ ἐπιεικτόν. Homeric
ἀλλ’ οὐδ’ ὥς σε ἔολπα ὀνόσσεσθαι κακότητος. Centos
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ’, οὐκ ἄρ’ ἔμελλες
δηρὸν ἔτ’ ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.

ἐξαῦτις δ' ἐπέεσσιν ἀμειβόμενος προσέειπε,
"μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον.
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς.
ἴομεν. ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἐστί,
πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι."
ὣς φάτο, τοῖς δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι
καὶ τότε κεν βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος.
οὔ πω πᾶν εἴρητο ἔπος ὅτ' ἂρ ἤλυθον αὐτοί,
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει,
ὃς κακὰ πόλλ' ἔρδεσκεν ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι.
ὣς δ' εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε
αἱματόεντε πέλον, δεινὸς δ' εἰς ὦπα ἰδέσθαι.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, αὖε δ' ἑταίρους.
ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρηι
ὅπλ' ἐν χερσὶν ἔχοντες χάλκεα, πείρατα τέχνης,
νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίηισιν ἄριστοι,
σχέτλιοι, οὔτε δίκας εὖ εἰδότες, οὔτε θέμιστας.
οὔτε θεὸν δείσαντο, ὃς οὐρανὸν εὐρὺν ἔχησιν,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι.
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει,
ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.
L2[O] ↔ οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
ℂ ἀμφὶ δέ μιν δρηστῆρες ἀγήνορες ἠγερέθοντο.
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῶι,
λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφιν,
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι,
ἔστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες·
στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες ἄλλοθεν ἄλλος,
ἔρδειν ἔργα βίαια κακορραφίηισι νόοιο.
ἡδὺ γελώοντες καὶ δεικανόωντ' ἐπέεσσι,
δεινὸν δερκόμενοι, θάμβος δ' ἔχεν εἰσορόωντας,
ἱέμενοι κτεῖναι· δὴ γὰρ κεχολώατο λίην.
τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει.
τούτου γὰρ καὶ ἐκεῖνοι ἀτασθαλίηισιν ὄλοντο.
ἀλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος
ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἐπ' ἤματι μητίσασθαι.
◆ ὡς δὲ δράκων ἐπὶ χειῆι ὀρέστερος ἄνδρα μένηισι,
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,
σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῆι·
ὣς ἄρ' ὅ γ' ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει.
ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε.
τοῖσι δὲ καὶ μετέειπε θεοκλύμενος θεοειδής·
"πῆι μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
εἴπαθ' ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῶι,

ὦ γύναι, οὐ μέν τοι τάδ' ἐφιεμένηι ἀπιθήσω·
ἐσθλὸν γὰρ θείωι χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσηι.
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων.
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
ῥηϊδίως· τοῖός τοι ἐγὼν ἐπιτάρροθος ἦα.
δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῶι·
θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
ἂψ ἐθέλω θανάτοιο δυσηχέος ἐξαναλῦσαι.
καὶ δέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός.
μηκέτι νῦν θαλερὸν γόον ὄρνυθι· οἶδα καὶ αὐτός.
ἀλλ' ἴσχεο κλαυθμοῖο γόοιό τε δακρυόεντος.
ἦ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσω."
ὡς φάτο, τῆς δὲ ἐνῶρσε γόον, σχέθε δ' ὄσσε γόοιο.
ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
μυρίοι, ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται ὥρηι.
ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
ἷξεν γ' ἐς σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ.
ἱστάμενοι δ' εἴροντο περὶ σπέος ὅττι κεν ἔρδοι.
ὤιμωξέν τ' ἄρ ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
στῆ δ' ἂρ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
"ὄρνυθι, μηδ' ἔτι κεῖσο." σέβας δ' ἔχεν εἰσορόωντας
"σοὶ δ' αὐτῶι τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω."
ὣς φάθ', ὁ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσεν. L2[O]
ὣς μὲν ἔπειτ' ἀνένεικε καὶ ἤγαγεν ἐξ Ἀΐδαο ℂ
φθεγξάμενος· τὸν δ' αἶψα περὶ φρένας ἤλυθ' ἰωή.
ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν.
κυάνεαι δ' ἐγένοντο ἐθειράδες ἀμφὶ γένειον.
αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἔσσυτ' ἀνα πρόθυρον καὶ ὑπέρβη λάϊνον οὐδόν.
ἔστη δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
καρπαλίμως δ' ὅδ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
πάντας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἑκάστου,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος,
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωιτο.
οἷον ὅδ' αὖτ' ἐξαῦτις ἀνέστη πότμον ἀλύξας,
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
ὦ φίλοι, οὐ μέν πώ τι πάρος περ τοῖον ἐτύχθη,
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα."
καὶ τότε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα,
πάντες ὁμηγερέες γ' ἠμὲν νέοι ἠδὲ γέροντες,
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.
αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὖ ναιετάοντας,

καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω
ἐλθόντες δὲ κάθιζον ἐπὶ ξεστοῖσι λίθοισιν
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἑταίρων.
γυνὴ δ' ὑντίον ἦλθε παρὰ σταθμὸν μεγάροιο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο καὶ λάβε γούνων,
πρόχνυ καθεζομένη· δεύοντο δὲ δάκρυσι κόλποι
καί οἱ γούνατ' ἔκυσσε καὶ ἔλλαβε χερσὶ ποδοῖϊν.
λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα.
χεῦσε δὲ χρυσέου ἐκ ληκύθου ὑγρὸν ἔλαιον
αὐτοῦ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι.
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο.
αὐτὰρ ὁ ἔγνω ἧσιν ἐνὶ φρεσὶ φώνησέν τε,
"τῆιδε δ' ἂν οὐ φθονέοιμι ποδῶν ἅψασθαι ἐμοῖο
ὦ γύναι, οὐκ ἄν τις σὲ βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥς τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσοι,
εὐδικίας ἀνέχηισι, φέρηισι δὲ γαῖα μέλαινα.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω.
θάρσει μοι, ἐπεὶ οὔ τι ἄνευ θεοῦ ἥδε γε βουλή.
σοὶ δὲ θεὸς τοῦδ' ἀντὶ χάριν μενοεικέα δοίη.
καί μιν ἔτισ' ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη.
ῥηΐδιον δὲ θεῶι, ὅς γ' οὐρανὸν εὐρὺν ἔχηισιν,
L2[I] ↔ ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι."
ℂ ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια εἰδώς,
αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν·
ὃς μέγα ἔργον ἔρεξεν ἀτασθαλίηισι κακῆισι.
σχέτλιος οὐδὲ θεοῦ ὄπιν ἠιδέσατ' οὐδὲ τράπεζαν,
τὴν ἥν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν.
ἀλλά γε μερμήριζε μένων ὅ τι κύντατον ἔρξει.
καὶ δ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων,
σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
ὃς χρυσὸν φίλον ἀνδρὸς ἐδέξατο τιμήεντος.
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
"ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
ἀνθρώποις, ὅτεών κε πόλιν καὶ γαῖαν ἵκηται,
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων.
ἦ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι."
ἀλλ' ὅ γ' ἄρ οὐδὲ θεὸν μέγαν ἅζετο· ἵετο δ' αἰεὶ
◆ πρεσβύτατον καὶ ἄριστον ἀτιμίηισιν ἰάλλειν.
τῶι καὶ ἀτασθαλίηισιν ἀεικέα πότμον ἐπέσπε·
νήπιος, οὐδέ τί οἱ τότ' ἐπήρκεσε λυγρὸν ὄλεθρον.
αὐτὰρ ὅ γ' ἐκ κρίνας ἑτάρων δυοκαίδεκ' ἀρίστους,

ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα,
στῆσεν ἐῢ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε
σημαίνων· αὐτὸς δὲ μέγα κρατέων ἤνασσεν.
οἱ δ' ἔλαχον τοὺς ἂν κε καὶ ἤθελεν αὐτὸς ἑλέσθαι.
οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι.

ἀλλ' εἴ μοί τι πίθεσθε, τό κεν πολὺ κέρδιον εἴη,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος
νύκτα δι' ἀμβροσίην, καὶ ἀΰπνους ὔμμε τίθεσθε,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει.
οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος
νήγρετος ἥδιστος, θανάτωι ἄγχιστα ἐοικώς,
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς·
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·
ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
εὔχεσθαι· πάντες δὲ θεοῦ χατέουσ' ἄνθρωποι.
ἐσθλὸν θείωι χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσηι.
ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι.
μηδέ τις ἀρνείσθω· καλέσασθε δὲ θεῖον ἀοιδόν.
ἀλλ' ἄγε, μίμνετε νῦν γε, ἐμοὶ ἐρίηρες ἑταῖροι,
αὐτὰρ ἐγὼν εἶμι, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη·
ἐν δέ τέ μοι κραδίη μεγάλα στέρνοισι πατάσσει.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
ἀλλ' ἄγε μηκέτι δὴ κακὰ ῥέζετε δυσμενέοντες,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
ὦ φίλοι, ἤδη μέν κεν ἐγὼ εἴποιμι καὶ ἄμμι,
ὅς τίς κεν τλαίη, οἳ τ' αὐτῶι κῦδος ἄροιτο."
δακρύσας δ' ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς.
τοῦ δ' ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
δριμὺ μένος προὔτυψε φίλον πατέρ' εἰσορόωντι. L2[I]
στῆ δὲ μέσωι ἐν ἀγῶνι, πολύς δ' ἀνεκήκιεν ἱδρώς. ℂ
πολλὰ δὲ πατρὶ φίλωι ἠρήσατο χεῖρας ὀρεγνύς.
ὦ πάτερ, οὐ νεμεσίζηι ὁρῶν τάδε καρτερὰ ἔργα;
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῆισι,
οἵ τέ μ' ἀτιμάζουσι καὶ οἳ νηλιτεῖς εἰσιν.
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίηισι κακῆισι.
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν,
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασι.
οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑοῖο,
εἰ ἐτεόν γε σός εἰμι, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι.
εἰ δ' οὕτω τοῦτ' ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι,
δύσομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω.
αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν τοῖς εὖ ἐπαμύνω,
εἰ σύ γε σῶι θυμῶι ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
κείσομ' ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην.
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι.
ἀλλὰ πάτερ ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν."
καὶ τότ' ἄρ ἄγγελος ἦλθεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
Eudocia Homeric Centos
ἀλκῆς καὶ σθένεος πλήσας φρένας ἀμφὶ μελαίνας.
αὐτίκα δὲ μνηστῆρας ἐπώιχετο ἰσόθεος φώς:
οἱ δ' εὕδειν ὥρνυντο κατὰ "δόμον", οὐδ' ἄρ' ἔτι δὴν
εἴατ', ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.

ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῆι τε νόωι τε.
ἀλλ' ἄγε δή μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴσω,
ἢ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται,
φαίην κε φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι."
Ὣς ἔφαθ', οἱ δ' ἄρα αὐτίκ' ἀπώμνυον ὡς ἐκέλευσε.
αὐτὰρ ἐπεὶ ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσε.
οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλους
κλήδην εἰς ἀγορὴν κικλήσκων ἄνδρα ἕκαστον,
μηδὲ βοῶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνε νέεσθαι,
μὴ λάθοι αὖτις ἰών κε θοὴν διὰ νύκτα μέλαιναν
τηλόθεν ἐν λείωι πεδίωι· παρὰ δὲ σκοπὸν εἷσεν,
εἴ ποθεν ἐξεύροι. μάλα γὰρ δριμὺς θυμὸς ἥρει.
αὐτὰρ ὁ βῆ, μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
βῆ δ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς
δηρὸν ἔηι κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζε,
νευστάζων κεφαλῆι· δὴ γὰρ κακὸν ὄσσετο θυμῶι.
μαίνετο δ' ἐκπάγλως, πίσυνος βίηι, οὐδέ τι τῖεν
ἀνέρας οὐδὲ θεόν· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
L3[O] ↔ τῶι καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπε.
ℂ τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῆι,
δειπνήσας, ὡς λῖς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι,
μισθῶι ἐπὶ ῥητῶι· ὁ δὲ σημαίνων ἐπέτελλεν
ἐνδυκέως. τοῖσιν δὲ κακὴ φρεσὶν ἥνδανε βουλή.
ὡς δὴ μὴ ὄφελεν νικᾶν τοιῶιδ' ἐπ' ἀέθλωι·
τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτοῦ γαῖα κατέσχεν.
ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός.
ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
ἐξαῦτίς γ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει·
"κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι,
ἀνδρὸς ἑνὸς ῥιπῆι, ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς·
ἐγγὺς ὅδε κλονέει· νῦν οἴω λοίγι' ἔσεσθαι.
σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς,
◆ ἄγριος, οὔτε δίκας εὖ εἰδὼς οὔτε θέμιστας.
οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε
δυσμενέες τ' ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν
μή τι κακὸν ῥέξωσι καὶ ἡμᾶς ἐξελάσωσι.
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα.
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
οἳ ὁρόω δρηστῆρας ἀτάσθαλα μηχανόωντας.
οὗτοι δ' ἐν θύρῃσι καθήμενοι ἐψιαάσθων.

17 (16C)

οὗτοι γὰρ κλειτοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
τῶν ἄλλων μετά γ' αὐτόν· ὁ δ' ἔπρεπε καὶ διὰ πάντων.
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντηι,
ὥρμαινε φρεσὶν ἧσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
οὐδ' ἄρ ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν.
καί τι ἔπος προέηκεν ὅ πέρ τ' ἄρρητον ἄμεινον.
"κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν, φρονέω δὲ διακριθήμεναι ἤδη
βουλήν. ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι οὐδὲ δύ' οἴους.
ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι
οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι μετείην.
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε
ἀνδράσιν ἠδὲ γυναιξὶν ἐπὶ χθόνα πουλυβότειραν,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
ἐχθρός κέν μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθηι ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπηι.
ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ.
ὑμῶν δ' ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω,
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι.
ὥς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρησθε,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
τοῦτό τι μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
L3[O] ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῆι.
ℂ εἰ δ' αὔτως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων,
ἡμετέρης ἀρετῆς μεμνημένοι ἤματα πάντα.
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
ἔρχεσθε πρὸς δῶμαθ', ἵν' ἐντυνώμεθα δαῖτα."
Ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν.
ἀλλ' ὅτε δὴ δειπνηστὸς ἔην καὶ ἐπήλυθεν ὥρα
εὔχετο. τοὶ δ' ἅμα πάντες ὑπ' αὐτόφιν εἵατο σιγῆι
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,
χερσὶ διακλάσσας, μεγάλ' εὔχετο χεῖρας ὀρεγνύς
δῶκε δ' ἑταίροισιν καί σφεας πρὸς μῦθον ἔειπεν,
"ἄρτου θ' ἅπτεσθον καὶ χαίρετον· αὐτὰρ ἔπειτα,
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα.
κὰδ δὲ δέπας περικαλλές, ὅ οἱ παλάμῃσιν ἀρήρει,
ἀμβροσίης πλῆσας κέρασέν κεν νέκταρ ἐρυθρόν.
εὔχετ' ἔπειτα στὰς μέσωι ἕρκεϊ, λεῖβε δὲ οἶνον,
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα,
"οἵ κ' ἐμὸν αἷμα πίοντες ἀλύσσονται περὶ θυμῶι,
ἀθάνατοι δ' εἶεν καὶ ἀγήραοι ἤματα πάντα.
αἰεὶ δὴ μέλλοιτε ἀγήραοί τ' ἀθάνατοί τε
ζώειν ἠδ' ἄνδρεσσι μετέμμεναι ἀθανάτοισι.
ὑμέων δ' ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω,

ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδῆς.
ὅς τις θαρσαλέος καὶ ἀναιδὴς ἐστι προΐκτης
ἀλλ' ἄγετ' ἐσθίετε βρῶμην καὶ πίνετε οἶνον
ἀθάνατον, ἐμέθεν μεμνημένοι ἤματα πάντα,
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες."
ἐξαῦτις δ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν,
"ὢ πόποι, οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ' ὑμῖν
δαίνυσθαί τ' ἀκέοντα καὶ εὐφραίνεσθαι ἕκηλον
ἐξ ὑμέων γὰρ φασὶ κάκ' ἔμμεναι· ἔστι γὰρ ἔνδον
ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπηι
μισθῶι ἐπὶ ῥητῶι· τὸ δὲ ῥίγιον αἴ κεν ἁλώηι.
ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ·
μόρσιμόν ἐστι θεῶι τε καὶ ἀνέρι ἶφι δαμῆναι.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει.
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
ἀφρήτωρ ἀθέμιστος ἀνέστιος ἐστὶν ἐκεῖνος
αἴθ' ὄφελεν ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι
ἢ οὕτω τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων
οὐ γὰρ ἐγὼ τοῦ φημι χερειότερον βροτὸν ἄλλον.
κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὃν ὀΐομαι αὐτός.
ἦστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι.
σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις,
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῶι."
L3[I] ↔ τοὺς δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
ℂ "μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθε ἐπέεσσι.
καὶ δ' ἄλλωι νεμεσᾶτε, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ,
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν.
ὡς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τάδε ἔργα,
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν,
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων.
οἱ μὲν τάρβησάν τε καὶ αἰδόμενοι βασιλῆα
ἔσταν. οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο·
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε,
"κλῦτε, φίλοι, καὶ μή τι θυμῶι ἀγάσησθε ἕκαστος.
ἤδη γάρ μευ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι.
◆ νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδ'' ἔτ' ἄνευθεν,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
πατρί τ' ἐμῶι καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῆι
Eudocia μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε.
Homeric ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
Centos τῶν πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πολλόν.
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισι.
νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον,

ἡδὺν ἀκηράσιον, θεῖον ποτόν. οὐδέ τις αὐτὸν
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι.
τὸν δ' ὅ κε πίνοιεν μελιηδέα οἶνον ἐρυθρόν.
οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι,
ὅς κε πίηι καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες.
τοῖσι δὲ καὶ μετέειπε θεοκλύμενος θεοειδής·
ὦ φίλοι, ἄνερες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὴν ὑσμίνην.
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους,
σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε κηδόμενοί περ.
οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
ἧι ῥ' ὅ γ' ὁ λυσσώδης **φλογὶ εἴκελος** ἡγεμονεύει,
ὅς κ' ἐμὸν αἷμα πιών περ ἀλύσσεται περὶ θυμῶι.
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὐκ ἐλεήμων.
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ ἕζετο· τοῖσι δ' ἀνέστη
ὅς ῥ' ἔπεα φρεσὶ ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη.
κλίμακα δ' ὑψηλὴν κατεβήσατο τοῖο δόμοιο,
χωόμενος. μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ **πυρὶ λαμπετόωντι ἐΐκτην**.
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω
νήπιος, οὐδὲ τὸ ᾔδη, ὅ περ πείσεσθαι ἔμελλεν L3[I]
νηλής, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων, ℂ
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων ἦν μνηστήρων.
ὃς δή τοι ἦτορ μὲν ἔην κακός, ἀλλὰ ποδώκης,
εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά.
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα·
αὐτὰρ ὃ μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον.
βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων·
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων.
τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν.
ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι,
"τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους;
πῆι δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ψευσάμενοι μαχόμεσθα· τῶ οὔ νύ τι κέρδιον ἡμῖν
ἔλπομαι ἐχτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.
αὔτως γάρ ῥ' ἐπέεσσ' ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, **πολὺν χρόνον** ἐνθάδ' ἐόντες.
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
ἥμενοι αὖθι ἕκαστοι **ἀκήριοι**, ἀκλεὲς αὔτως. Eudocia
αἰσχρόν τοι δηρόν τε μένειν κενέον τε νέεσθαι. Homeric
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον. Centos
ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν.
τούνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἀνάσσει,

Eudocia Homeric Centos

δεξιτερῆς δ᾽ ἕλε χειρός ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι,
ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπησθα καὶ ἄλλοι.
ὡς ἐπὶ σοὶ μάλα πόλλ᾽ ἔπαθον καὶ πόλλ᾽ ἐμόγησα
ὄφρά μ᾽ ἐῢ φνῶτον πιστωθῆτόν τ᾽ ἐνὶ θυμῷ."
ὣς φάτο, τῶν δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
οὐλὴν δ᾽ ἀμφράσσαιτο καὶ ἀμφαδὰ ἔργα γένοιτο,
χειρῶν δ᾽ ἀψάσθην· ὁ δὲ δακρύσας ἔπος ηὔδα·
"νῦν γ᾽, ἐπεὶ ἤδη σήματ᾽ ἀριφραδέα μοι ἔδειξας
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ᾽ ἐόντα,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισι,
οὐδὲ λίην ἄγαμαι, μάλα δ᾽ εὖ οἶδ᾽ οἷος ἔησθα.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
οὕνεκά σ᾽ οὐ τὸ πρῶτον ἰδὼν ἐγὼ ὧδ᾽ ἐπίθησα.
πρὶν δ᾽ ἔγνων, πρὶν πάντα ἄνακτ᾽ ἐμὸν ἀμφαφάασθαι.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτο ἔπεσσιν."
ὣς ἄρα φωνήσαντες ἀπέστασαν ἀλλήλοιϊν.
δὴ τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
χεῖρας ἀνίσχοντες μεγάλ᾽ εὐχετόωντο ἕκαστος.
ἦμος δ᾽ ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
οὗ τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς,
ἔστη γε σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
ἔνθα μὲν οὔτε βοῶν οὔτ᾽ ἀνδρῶν φαίνετο ἔργα.
οἱ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν ἅπαντες,
L1[O] ↔ μήτηρ θ᾽ ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα.
𝔻 αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
τοὺς δ᾽ αὖτε προσέειπε θεοκλύμενος θεοειδής·
"κλῦτε φίλοι, καὶ μή τι θυμῷ ἀγάσησθε ἕκαστος,
ὄφρα ἔπος εἴποιμι τό μοι καταθύμιόν ἐστιν.
ἤδη νῦν μευ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι
οὐρανὸν ἐς πολύχαλκον, ἵν᾽ ἀθανάτοισι μετείην."
μνηστῆρες δ᾽ ἀκάχοντο κατήφησάν τ᾽ ἐνὶ θυμῷ.
ὡς εἰπὼν λίπεν αὐτόθ᾽, ἐπεὶ διεπέφραδε πάντα.
αὐτὸς δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
φαίνεθ᾽ ὁμοῦ νεφέλῃσιν ἰὼν εἰς οὐρανὸν εὐρύν,
ἄφθιτον ἀστερόεντα, μεταπρεπέ ἀθανάτοισιν.
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι·
τῇσιν ἐπιτέτραπται μέγας οὐρανὸς ἀστερόεις τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
βῆ δὲ θέων, μάλα δ᾽ ὦκα φίλον πατέρ᾽ εἰσαφίκανεν.
✦ ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ ἕζετ᾽ ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Pro. ἥδε μὲν ἱστορίη θεοτερπέος ἐστιν ἀοιδῆς.
Πατρίκιος δ᾽, ὃς τήνδε σοφῶς ἀνεγράψατο βίβλον,
ἔστι μὲν ἀθανάτοιο διαμπερὲς ἄξιος αἴνου,
οὕνεκα δὴ πάμπρωτος ἐμήσατο κύδιμον ἔργον.
ἀλλ᾽ ἔμπης οὐ πάμπαν ἐτήτυμα πάντ᾽ ἀγόρευσεν·
οὐδὲ μὲν ἁρμονίην ἐπέων ἐφύλαξεν ἅπασαν,
οὐδὲ μόνων ἐπέων ἐμνήσατο κεῖνος ἀείδων,
ὁππόσα χάλκεον ἦτορ ἀμεμφέος εἶπεν Ὁμήρου.

Eudocia Homeric Centos

πένθεϊ δ᾽ ἀτλήτωι βεβολήατο πάντες ἄριστοι,
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
οἱ δ᾽ ἅμ᾽ ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
ἐξεφάνη· δηρὸν δὲ καθήμενοι ἐσκοπίαζον,
πόλλον ἀφεσταότες. ὁ δ᾽ ἐνὶ μέσωι ἄλγε᾽ ἔπασχε.
αὐτὰρ ὅγ᾽ ἐν προδόμοισι καθῆστο γέρων ἁλιθέρσης
ὅς οἱ κήδιστος ἑτάρων ἦν κεδνότατός τε,
ἑρπύζων παρὰ πυρκαϊήν, ἀδινὰ στοναχίζων.
ὤιμωξεν δ᾽ ὁ γέρων, κεφαλὴν δ᾽ ὅ γε κόψατο χερσὶν,
ὑψόσ᾽ ἀνασχόμενος, μέγ᾽ ἀνοιμώξας ἐγεγώνει.
οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
ἐν πάντεσσι πόνοισι, φίλει δέ ἑ ἔξοχα πάντων.
ὠρίνθη δέ οἱ ἦτορ καὶ οὐ δύνατο προσαμῦναι.
στῆ δ᾽ ἐκτὸς κλισίης, τάχα δ᾽ εἴσιδεν ἔργον ἀεικές.
ἄσσον δ᾽ οὐκέτ᾽ ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν· αὐτὰρ ὃ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ.
ἦν δ᾽ ἐγρηγορόων. ταὶ δ᾽ ἐκ μεγάροιο γυναῖκες
ἤϊσαν, αἳ δρηστῆρσιν ἐμισγέσκοντο πάρος περ.
τοῦ δ᾽ ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι.
ἂψ δ᾽ ἄρ ἐπ᾽ οὐδὸν ἰὼν κατ᾽ ἄρ ἕζετο. τοὶ δ᾽ ἴσαν εἴσω
ἡδὺ γελώωντες καὶ δεικανόωντ᾽ ἐπέεσσι.
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη
ἔρδειν ἔργα βίαια κακορραφίῃσι νόοιο
οὐλομένη, ᾗ τ᾽ αἰὲν ἀήσυλα ἔργα μέμηλεν,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο,
θάρσος ἄητον ἔχουσα, μέγας δέ ἑ θυμὸς ἀνῆκεν· L1[O]
"μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω. 𝔻
ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ᾽ ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔκοψε τετιμένον, οὖας ἀπούρας."
δεινὰ δ᾽ ὁμοκλήσασ᾽ ἔπεα πτερόεντα προσηύδα,
"ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, μάλα δ᾽ εἴσεαι αὐτός·
ἦ τέ οἱ ἐξ ἀρχῆς πατρώϊος ἦσθα ἑταῖρος."
ὣς ἔφατ᾽, αὐτὰρ τοῦδε κατεκλάσθη φίλον ἦτορ.
θαύμαζεν δ᾽ ὁ γεραιός, ὅπως ἴδεν ὀφθαλμοῖσι.
οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
κῆρ ἄχεϊ μεγάλωι βεβλημένος. ἐν δέ οἱ ὄσσε
δακρυόφιν πίμπλαντο, γόον δ᾽ ᾤετο θυμός.
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν
ὕστατα καὶ πύματα, κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
αὐτὰρ ὅ γ᾽ ἠρνεῖτο στερεῶς, ἐπὶ δ᾽ ὅρκον ὄμοσσεν.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε δόλον κεχολωμένη ἥρωι,
βῆ ῥ᾽ ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνια κεῖτο.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκτὸς θυρέων ἦν ἠδὲ καὶ αὐλῆς,
δή ῥα τότ᾽ ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσι. δάκρυα δὲ ἔκβαλε θερμά,
ὅττι ῥά οἱ πάμπρωτα θεόν γ᾽ ἠρνήσατο πάντων.
κλαῖεν δ᾽ ἐν κονίῃσι καθήμενος, οὐδέ νυ οἱ κῆρ
ἤθελ᾽ ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
χεύατο κὰκ κεφαλῆς, χάριεν δ᾽ ᾔσχυνε πρόσωπον.

δὴ τότε μιν προσέειπε γέρων ἅλιος νημερτής·
"ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,
ἥτις δὴ τοιαῦτα μετὰ χερσὶν ἔργα βάληται."
ἦ ῥ ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσί,
αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον
νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα
ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο
ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
ὣς ἄρ' ὅ γ' ἔνθα καὶ ἔνθα ἑλίσσετο μερμηρίζων.
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς.
δαιτυμόνες δ' ἀνὰ δώματα ἴσαν θείου βασιλῆος,
ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν
οἴκτρ' ὀλοφυρομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
ἠέριοι δ' ἄρα τοί γε κακὴν ἔριδα προφέροντο·
ἐν πεδίωι δ' ἵσταντο διαρραῖσαι μεμαῶτες.
χερσὶ δ' ἔχον ῥόπαλα παγχάλκεα, αἰὲν ἀαγῆ.
αὐτίκα δὲ **σφήκεσσιν ἐοικότες** ἐξεχέοντο
εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
αἰεὶ κερτομέοντες, ὁδῶι ἔπι οἰκί' ἔχοντες,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
ἀζηχὴς δ' ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν.
οἱ δ' ἂρ ἴσαν, ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο.
L1[I] ↔ εἰς ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.
𝔻 ὃς δ' ἦ τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικές·
κτεῖναι μέν ῥ' ἀλέεινε, σεβάσσατο γὰρ τό γε μύθωι.
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατος καλῇσι ῥοῇσι.
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ὦ φίλοι, οὐκ ἂν ἔγωγε καταχτείνειν ἐθέλοιμι.
ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῶι ἀνδρὶ δαμῆναι,
ὅς περ θνητὸς ἔῃ καὶ οὐ τόσα μήδεα οἶδε.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
δῶρα θεός γε δίδωσιν, ὃς οὐρανὸν εὐρὺν ἔχησι;
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς,
ἀλλ' ἀναχασσώμεσθα, θεοῦ δ' ἀλεώμεθα μῆνιν.
οὐ γάρ πως πάντεσσι θεὸς φαίνοιτο ἐναργής."
ὣς ἄρα φωνήσας ἀπεβήσατο, τὸν δὲ λίπ' αὐτοῦ,
◆ δῆμον ὑποδδείσας· δὴ γὰρ κεχολώατο λίην.
δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι.
πεπλήγει δ' ἀγορῆθεν ἀεικέσσι πληγῇσιν.
σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη.
Eudocia ἐς δ' ἦλθον δρηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα
Homeric κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῶι πάντες ἔβησαν,
Centos κάρτεϊ τε σθένεϊ τε πεποιθότες ἠνορέῃ τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντες.
οὐδ' ὄπιδα τρομέουσι θεοῦ· μεμάασι γὰρ ἤδη.

καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.
τοῖσι δὲ καὶ μετέειπε θεοκκλύμενος θεοειδής,
"ὦ τέκον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα.
τοῖος ἐών τοι χθιζὸς ἐν ὑμετέροισι δόμοισι
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα.
νῦν ἤδη τόδε **μακρὸν** ἐέλδωρ **ἐκτετέλεσται.**
ἀλλ' ὅδ' ἐγὼ τοιόσδε, παθὼν κακά, πολλὰ δ' ἀνατλάς,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ,
ἤλυθον, ὄφρα ἴδω νέκυας καὶ ἀτερπέα χῶρον.
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἀνδρὶ ἑκάστωι.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε."
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος.
κήρυκες δὲ λίγαινον ἅμ' ἠοῖ φαινομένηφι
ἐσθλοί, **τεττίγεσσιν ἐοικότες, οἵ τε καθ' ὕλην**
δενδρέωι ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι.
οἱ δ' ὅτε δή ῥ' ἔντοσθε δόμου ἔσαν ὑψηλοῖο
τερπόμενοι φιλότητι παρ' ἀλλήλοισι κάθηντο.
κηληθμῶι δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
κλήϊσαν δὲ θύρας μεγάρων ἐῢ ναιεταόντων.
κληϊσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
αὐτίκα δὴ μνηστῆρας ἐπώιχετο ἰσόθεος φώς.
τοὺς δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής·
"ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας,
γιγνώσκω δ' ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω." L1[I]
καὶ τοτε δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν. 𝔻
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
εἰσορόων ὄψίν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων,
ἦ πρῶτ' ἐξερέοιτο ἕκαστά τε μυθήσαιτο.
στῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπε·
"ὦ φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔεπες·
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα.
ἐν μοίρῃ γὰρ πάντα διΐκεο καὶ κατέλεξας.
νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι.
ὦ φίλε, εἰ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω;
σῆμά τί μοι νῦν δεῖξον ἀριφραδές, ὄφρα πεποίθω."
τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
"ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος.
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
ἐνταῦθα τρέψειε, φίλος· κάκιον δέ κεν εἴη.
τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
ἦ τοι μὲν τόδε καὐτὸς ὀΐεαι, **ὥς κεν ἐτύχθη.**
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον,
ὄφρ' ἐῢ εἰδῇς οἷος ἐν ἀνδράσι δυσμενέεσσι.
σφῶϊν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω· Eudocia
εἰ δ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω, Homeric
ὄφρά μ' ἐῢ γνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῶι. Centos
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές· οὐδέ σε λήσει."
ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.

ἀνέρες ἠρήσαντο παρεστάμεναι, δύναται γάρ.
σοῖσιν δ' ὀφθαλμοῖσιν ἐσόψεαι, αἴ κ' ἐθέλησθα.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὡς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
σὸς πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα
ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης.
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
ὄψεαι· οὐ γάρ σε πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖ γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν κ' ἐσίδηαι. ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει.
οὐ μέν τοι κεῖνός γε πολὺν χρόνον ἀμφὶς ἔσοιτο."
ὣς φάτο, τῆς δ' εὔνησε γόον, σχέθε δ' ὄσσε γόοιο.
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε,
"ἔσσεται οὕτω, φίλε· ἕθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα ἕ τ' ὀφθαλμοῖσιν ἴδω καὶ μῦθον ἀκούσω.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ.
ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε εἷματ' ἰδοῦσα."
ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει
μνηστήρων μεθ' ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῶι.
καί ῥα ἑκάστωι φωτὶ παρισταμένη φάτο μῦθον.
ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντηι.
L2[O]↔ οἱ δὲ βοῆς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος,
𝔻 οἱ μὲν χωόμενοι, οἱ δ' αὖ μέγα κυδιόωντες:
οἱ δ' ἄρα θαμβήσαντες ἰθὺς κίον, ὡς δ' ἐσίδοντο.
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
δὴν δ' ἄνεωι καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοιϊν.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ὦ φίλοι, οὐ μέν πω τι πάρος τοιοῦτον ἐτύχθη.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι
δεινόν, ὃ οὔ ποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον.
ὅδε δὴ αὖτ' ἐξαῦτίς περ ἀνέστη κῆρας ἀλύξας.
κεῖνος θ' ὡς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται."
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
ἤϊεν. αἰπὺ δ' ὄρος προσέβη καταειμένον ὕληι,
ἐν περιφαινομένωι. δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους
ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.
◆ ἔνθ' ἀναβάς, ὅθι τε δρύος ἦν πολυανθέος ὕλης,
ἔστη. πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι.
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν ἅπαντες.
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
δεικανόωντ' ἐπέεσσι καὶ ἐν χείρεσσι φύοντο.

οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο
τείχεος ἔκτοσθεν, μέγα δέ σφισι φαίνετο ἔργον.
ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρωι.
ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος.
τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράασθαι.
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες
εἴρυσαν, ἠνορέηι πίσυνοι καὶ κάρτεϊ χειρῶν,
δήμιοι, οἳ κατ' ἀγῶνας ἐῢ πρήσσεσκον ἕκαστα
νήπιοι, οἱ δ' ἄρα δὴ τάδε μήδεα μηχανόωντο.
δρηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι.
ἴθυσαν δὲ λύκοισιν ἐοικότες ὠμοφάγοισιν.
ἀρνειῶι μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλωι,
ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων
ἀρνειὸς γὰρ ἔην μήλων ὄχ' ἄριστος ἁπάντων.
ἐν δ' αὐτὸς κίεν ἧσι προθυμίηισι πεποιθώς.
δεσμῶι δ' ἀργαλέωι δέδετο, κρατέρ' ἄλγεα πάσχων.
σὺν δὲ πόδας χεῖράς τε δέον κεκοτηότι θυμῶι.
ἐς μέσσον δ' ἄναγον. τὼ δ' ἄμφω χεῖρας ἀνέσχον
καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν.
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
δεξάμενοι δ' ἄρα τοί γε διαστάντες τανύουσι
σταυροῖσιν πυκινοῖσι διαμπερὲς ἔνθα καὶ ἔνθα
γυμνόν, ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέοντο,
ὀρθὸν ἐν ἱστοπέδηι· ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆψαν
ὑψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε.
ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῶι ὑπὸ δεσμῶι
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
ὥρηι ἐν εἰαρινῆι, ὅτε τ' ἤματα μακρὰ πέλονται·
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχηι.
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι,
οὔτε στηρίξαι ποσὶν ἔμπεδον οὔτ' ἐπιβῆναι.
ἰδνώθη δ' ὀπίσω· ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθείς.
καὶ τότε δὴ γίνωσκον ὅ τ' οὐκέτι φυκτὰ πέλοντο.
οἱ δ' ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν.
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
τρὶς μὲν ἔπειτ' ἤϋσεν ὅσον κεφαλὴ χάδε φωτός.
στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ ἤθελ' ἑλέσθαι·
χείλεα μέν τε δίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν.
ὧδε δὲ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠὲ χαλίφρων,
ἠὲ ἑκὼν μεθιεῖς, καὶ τέρπεαι ἄλγεα πάσχων;
εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
ἀλλὰ σὺ πέρ μοι εἰπέ, θεὸς δὲ τὰ πάντα ἴσησιν.
ἔρξον ὅ περ δή τοι νόος ὀτρύνει καὶ ἀνώγει.
καὶ σύ, φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων ἐῢ εἴπηι.
εἶξόν γ' ὅππηι σε κραδίη θυμός τε κελεύει.

αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῶι
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ' ὑπέστης.
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μεγαρόνδε·
οἵδε τοι ἐκτελέσουσιν ὑπόσχεσιν ἥν περ ὑπέσταν.
καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν.
ἤτοι μὲν γὰρ νῶϊ πολέας ὠμόσσαμεν ὅρκους.
ξεῖν' οὕτω γάρ κέν τοι ἐϋκλείν τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπαιτα.
ὢ πόποι ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπες."
ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
"κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμος, ὡς ἀγορεύει.
τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζει.
ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ' ἐνὶ θυμῶι.
τῶι δὲ μάλ' ἐν πείσηι κραδίη μένε τετληυῖα."
αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα,
"ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἴσχεο, μηδὲ περισθενέων δηλήσεο τούσδε,
τάων, οἵ δὴ ἐμῆι κεφαλῆι κατ' ὀνείδεα χεῦαν·
οἵ τέ μ' ἀτιμάζουσι καὶ οἵ νηλιτεῖς εἰσι.
οἵ τ' ἐμὲ ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται·
νῦν δέ μ' ἀτιμάζωσι κακὰ χροΐ εἵματ' ἔχοντα.
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν.
ἀλλὰ πάτερ, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ,
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι.
ἴσχεο, μηδὲ βίην τίσαις ὑπερηνορεόντων
L2[I] ↔ ἀνδρῶν δρηστήρων κεχολωμένος, οἵ με ἔτισαν.
𝔻 ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς.
ἤδη γὰρ τετέλεστο ἅ μοι φίλος ἤθελε θυμός."
ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει,
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βάραθρον,
τῶν ἄλλων ψυχὰς ἰδέειν κατατεθνηώτων.
ἔνθα σιδήρεαί τε πύλαι καὶ χάλκεος οὐδός,
καρτερός· ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, **ὡς ὅτε μυῖαι**
σταθμῶι ἔπι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρηι ἐν εἰαρινῆι, ὅτε γλάγος ἄγγεα δεύει.
ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων,
"ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι ἦ σέ γε λαοὶ
◆ ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι μένεϊ σφῶι,
τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεαι ἐλθών.
εἰπέ μοι εἰρομένωι νημερτέα μηδ' ἐπικεύσῃς·
εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
Eudocia Homeric Centos
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε.
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε.
σῶσον νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε,
εἴ κεν ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς.

ῥεῖα λαθὼν φύλακάς τ' ἄνδρας δμωιάς τε ἅπαντας.
οὐδὲ γὰρ εὕδοντες φυλάκων ἡγήτορες ἔσσαν,
ἀλλ' ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῆι
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην
ἔρχηται δι' ὄρεσφι· πολὺς δ' ὀρυμαγδὸς ἐπ' αὐτῶι
ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν.
ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει.
αἱ δὲ γυναῖκες τόφρα ἀολλέες ἦλθον ἅπασαι.
αἵν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι·
ἔνθα δύω νύκτας δύο τ' ἤματα συννεχὲς αἰεὶ
κάππεσεν. ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
κλαῖον δὲ λιγέως, **ἀδινώτερον ἤ τ' οἰωνοὶ**
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.
μήτηρ θ' ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα,
κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
αὖτις ἀναστήσεσθαι ὑπὸ ζόφου ἠερόεντος.
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο.
κεῖτο δ' ἄναυδος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ὁρμαίνουσ' ἤ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων.
τῆι' δ' ἐλεεινοτάτωι ἄχεϊ φθινύθεσκον παρειαί.
καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς φώνησέν τε,
"ὤ μοι, τέκνον ἐμόν, τί νύ σ'' ἔτρεφον αἰνὰ τεκοῦσα
ὤ μοι, ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷα ἄριστον."
ὡς δὲ χιὼν κατατήκετ' ἐπ' ἀκροπόλοισιν ὄρεσσιν,
ἥν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ
τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες,
ὣς τῆς τήκετο καλὰ παρήϊα δάκρυ χεούσης.
σμερδαλέον δὲ μέγ' ὤιμωξεν, περὶ δ' ἴαχε πέτρη.
ὁρμήσας δ' ἄρα οἱ παρ' ἑταίρων ἄγγελος ὠκὺς
χερσὶ ψηλαφόων, ἀπὸ μέν λίθον εἷλε θυράων.
τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός.
αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
βόμβησεν δὲ λίθος· κατὰ δ' ἔπτηξεν ποτὶ γαίηι.
αὐτὸς δ' εἰνὶ θύρῃσι καθέζετο χεῖρε πετάσσας
κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη.
ὥς τε γὰρ ἠελίου πέλεν αἴγλη ἠδὲ σελήνης,
ἢ πυρὸς αἰθομένοιο καὶ ἠελίου ἀνιόντος.
φωνῆι τε βροτέηι κατερήτυε φώνησέν τε·
"εἰπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῶι,
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν. οἶδα καὶ αὐτὸς
ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι.
παύσεο δὴ κλαυθμοῖο γόοιό τε δακρυόεντος,
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
τώ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο μηδέ τι θυμόν.
θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην·
τοῖος γάρ σοι ποτμὸς ἄμ' ἔρχεται, ὅν τε καὶ ἄλλοι

οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
Eudocia Homeric Centos
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν.
ἔδδεισεν δ᾽ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς.
ἂψ δ᾽ ἀνεχώρησεν ὦχρός τέ μιν εἷλε παρειάς.
δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ταρβήσας δ᾽ ἑτέρωσε βάλ᾽ ὄμματα, μὴ θεὸς εἴη.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
καὶ τότε δὴ μύθοισιν ἀμειβόμενος προσέειπε·
"γουνοῦμαί σε, ἄναξ· θεός δέ κεν ἦ βροτός ἐσσι;
νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον
ἢ ἀπόειπ᾽, ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ᾽ ἐῢ εἰδῶ.
εἰ μέν τοι θεός, ὃς οὐρανὸν εὐρὺν ἔχῃσι,
τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ·
εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν,
λίσσομ᾽ ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή μ᾽ ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι.
κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ.
νῦν δ᾽ ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δὲ σάωσας
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ᾽ ἔδδεισας ὀπίσσω,
ἦ σ᾽ ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη.
οὐ γὰρ ἔτ᾽ ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ᾽ ἔτι καλῶς
οἶκος ἐμὸς διόλωλε· νεμεσσήθητε καὶ αὐτοί,
ἄλλους τ᾽ αἰδέσθητε περικτίονας ἀνθρώπους.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ᾽ ὤλεσας, ἀλλά τοι αἰεὶ
L3[O] ◆◆ 𝔻
πάντας ἐπ᾽ ἀνθρώπους μάλα δὴ κλέος ἔσσεται ἐσθλόν.
ζώγρει· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
βουλοίμην κ᾽ ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
ὅς κε θνητὸς ἔῃ καὶ οὐ τόσα μήδεα οἶδε,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν
βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα,
οὗ περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε,
ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός."
ὣς ἄρα μιν προσέειπεν ἄναξ ἐνέρων Ἀϊδωνεὺς
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσε.
"χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέω᾽ ἀποειπεῖν,
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
ἠδὲ γυναῖκας ἐϋζώνους καὶ νήπια τέκνα
ἂψ ἐθέλω θανάτοιο δυσαλγέος ἐξαναλῦσαι.
βάλλεαι. ἀλλὰ σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
◆
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο.
πρῆξαι δ᾽ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ᾽ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
ὣς εἰπὼν λίπεν αὐτόθ᾽ ἐπεὶ διεπέφραδε πάντα
δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ᾽ Ἠώς,
ἦμος δ᾽ οὔτ᾽ ἄρ πω ἠώς, ἔτι δ᾽ ἀμφιλύκη νύξ,
ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσι ἀγέρθη.
ἔγρετο δ᾽ ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή,

ἀλλ᾽ ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεο· ὄφρα ἴδωμαι ἐνὶ φρεσὶ ἠδὲ δαείω,
ἤ γ᾽ ἄρ ὁμῶς καὶ κεῖθεν ἐλεύσεαι ἦ σέ κ᾽ ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς·
πάντα δ᾽ ἀπὸ πλευρᾶς χρόα ἔργαθεν, οὐδ᾽ ἔτ᾽ ἔασε.
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν.
εἶθαρ δ᾽ ἄμβροτον αἷμα κατέρρεεν ἐξ ὠτειλῆς,
νηπενθές τ᾽ ἄχολόν τε, κακῶν τ᾽ ἐπίληθον ἁπάντων.
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι.
οὔ ποτέ τοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
ὃς τὸ καταβρόξειεν, ἐπὴν Ἀρητῆρι μιγείη,
οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
οὐδ᾽ εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
ἠὲ κασίγνητος ὁμογάστριος ἠὲ καὶ υἱός.
τοῖσιν δ᾽ αὐτίκ᾽ ἔπειτα θεὸς τέρατα προύφαινε,
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δέος ᾕρει.
αὐτίκα δ᾽ ἐβρόντησεν ἀπ᾽ οὐρανοῦ ἀστεροέντος.
βροντήσας δ᾽ ἄρα δεινὸν ἀφῆκ᾽ ἀργῆτα κεραυνόν.
ἀστράψας δὲ μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δὲ τίναξε
γαῖαν ἀπειρεσίην ὀρέων τ᾽ αἰπεινὰ κάρηνα.
ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός, ἄϊε δὲ χθών.
σὺν δ᾽ Εὖρός τε Νότος τ᾽ ἔπεσον Ζέφυρός τε δυσαὴς
καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ
θεσπεσίη. ἐπὶ δ᾽ αὖ δεινὸς τρόμος ἔλλαβε πάντας.
λαοὶ δ᾽ ἠρήσαντο θεῷ ἰδὲ χεῖρας ἀνέσχον.
πάντες δ᾽ ἐσσείοντο πόδες πολυπίδακος Ἴδης,
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα,
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε καμόντες
πάντοθεν ἐκ κευθμῶν, οὐδ᾽ ἠγνοίησαν ἄνακτα
βαλλόμενον καὶ ἐνισσόμενον τετληότι θυμῷ.
ἔδδεισεν δ᾽ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ᾽ ἐκ θρόνου ἆλτο καὶ ἴαχε μάλα λιγείως·
"ὤ μοι·" ἄφαρ δ᾽ ὤϊξε θύρας καὶ ἀπῶσεν ὀχῆας.
ἦλθον ἔπειθ᾽ ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ
ψυχαὶ ὑπὲξ Ἐρέβους νεκύων κατατεθνηώτων,
ἀχνύμεναι· περὶ δ᾽ αὐτὸν ἀγηγέραθ᾽ ὅσσαι ἄρισται.
ἤϋσεν δὲ διαπρύσιον νεκύεσσι γεγωνώς,
"καρπαλίμως ἔρχεσθε· ἐγὼ δ᾽ ὁδὸν ἡγεμονεύσω·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ᾽ ἀλωιή."
ὣς ἄρα φωνήσας ἡγήσατο. τοὶ δ᾽ ἅμ᾽ ἕποντο.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
"ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη.
ἦ μεγάλ᾽ ἐβρόντησεν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
ὄφρ᾽ ἀνδρῶν τίσαιτο βίας ὑπερηνορεόντων,
λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα.
εἵνεκα δὴ ξείνοιο τάδ᾽ αἰδοίοιο τέτυκται."

ἐν δ᾽ ἔπεσ᾽ Ὠκεανῶι λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν,
ἠέλιός θ᾽ ὃς πάντ᾽ ἐφορᾶι καὶ πάντ᾽ ἐπακούει,
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι,
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ᾽ ἐπιδέδρομεν ἀχλύς.
ἔνθά κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο.
ἀλλ᾽ ἦ τοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν,
ὃς μέγα ἔργον ἔρεξεν ἀτασθαλίηισιν ἑῆισιν,
ἁψάμενος βρόχον αἰπὺν ἀφ᾽ ὑψηλοῖο μελάθρου
νήπιος, οὐδέ τί οἱ τό γε ἐπήρκεσε λυγρὸν ὄλεθρον
ὣς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.
τοίην γὰρ κεφαλὴν ἕνεκ᾽ αὐτοῦ γαῖα κατέσχεν.
πάντας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἑκάστου.
νεκρὸν δὲ προλιπόντες ἐπέτρεσαν ἄλλυδις ἄλλος.
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
πᾶσαι δ᾽ ὠΐγνυντο πύλαι, ἐς δ᾽ ἔσσυτο λαὸς,
πεζοί θ᾽ ἱππῆές τε· πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει.
οἱ δ᾽ ἐφέβοντο κατὰ μέγαρα, ὡς βοῦς ἀγελαῖαι.
τόφρ᾽ ἄλλοι πάντες πεφοβημένοι ἦλθον ὁμίλωι
ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ᾽ ἔμπλητο ἀλέντων.
καὶ τότε δή ῥ᾽ ἔσχοντο βίης λῦσαί τε κέλευον,
νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
οἳ μέγα ἔργον ἔρεξαν ἀϊδρείηισι νόοιο.
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανον, ὃς μέγ᾽ ἄριστος.
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπτο.
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὰ πρὸς δώμαθ᾽ ἕκαστος,
οἱ δὲ μάλ᾽ ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη.
δρηστῆρες δ᾽ ἀνεχώρησαν μεγάροιο μυχόνδε.
τὸν δ᾽ ἂρ ἔπειθ᾽ ὑποδύντε δύω ἐρίηρες ἑταῖροι
κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ᾽ ἀμφέσταν ἑταῖροι
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα.
ἐν λεχέεσσι δὲ θέντες ἑανῶι λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῶι.
ἐν δ᾽ ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο.
ἀλλὰ γὰρ οὐδέ τί οἱ χρὼς σήπετο, οὐδέ μιν εὐλαὶ
ἔσθουσ᾽, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
αἰεὶ τῶιδ᾽ ἔσται χρὼς ἔμπεδον, ἢ καὶ ἄρειον.
μήτηρ δ᾽, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα,
ἀμφ᾽ αὐτῶι χυμένη λίγ᾽ ἐκώκυε, χερσὶ δ᾽ ἄμυσσε
στήθεά τ᾽ ἠδ᾽ ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
✦ ἐκπάγλως γὰρ παιδὸς ὀδύρετο οἰχομένοιο.
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο.
ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος.
τὴν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
“τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
ζωὸς ἐώς; χαλεπὸν δὲ τόδε ζωοῖσιν ὁρᾶσθαι.
ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
πῶς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην;
πῆι γὰρ ἐγώ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ᾽ ἵκωμαι;
πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροί;
ἀμφὶ δὲ παιδὶ φίλωι βάλε πήχεε δάκρυ χέουσα·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
χεῖράς τ᾽ ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
“τέκνον, ἐμοί γε μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήισκων λεχέων ἐκ χεῖρας ὄρεξας.
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
μεμνήιμην νύκτάς τε καὶ ἤματα δάκρυ χέουσα.
ἀλλὰ με σός τε πόθος σά τε μήδεα, φαίδιμε υἱέ,
σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
τώ σ᾽ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.
νῦν δὲ σὺ μέν ῥ᾽ Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῶι ἐνὶ πένθεϊ λείπεις.”
ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δ᾽ ἔστενε δῆμος ἀπείρων.
οὐδὲ γὰρ οὐδέ τις αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος.
αἶψα τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο.
καὶ νύ κ᾽ ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο.
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
βῆ ῥ᾽ ἴμεναι μεγαρόνδε μετὰ μνηστῆρας ἀγαυούς.
τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο.
ἀγκὰς δ᾽ ἀλλήλων λαβέτην χερσὶ στιβαρῆισιν.
οἱ δ᾽ ὥς θ᾽᾽ ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες
ἕλκωσ᾽ ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
τείρεθ᾽ ὁμοῦ καμάτωι τε καὶ ἱδρῶι σπευδόντεσσιν·
ὣς οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὕπερθεν
χερσὶ μέγαν λίθον ἀείραντές τε προσέθηκαν,
ὄμβριμον. οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ᾽ ἅμαξαι
ἐσθλαὶ τετράκυκλοι ἀπ᾽ οὔδεος ὀχλίσσειαν.
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο,
μὴ λόχος εἰσέλθηισι πόλιν λαῶν ἀπεόντων.
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
“μὴ δή τι κλέψαι μὲν ἐάσετε, οὐδέ πηι ἔστι
συλεύειν, μή πώς τι κακὸν μετόπισθε γένοιτο.”
ἕπτ᾽ ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστωι
κοῦροι ἅμα στεῖχον δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντες
τῶν δ᾽ ἅπαν ἐπλήσθη πεδίον καὶ λάμπετο χαλκῶι
δυσμενέες τ᾽ ἄνδρες σχεδὸν εἵατο ἐν φυλάκεσσιν.
οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.
ὣς οἱ μέν ῥ᾽ ἑκάτερθε καθείατο μητιόωντες.
οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ᾽ ἡβῶν,
ἐς στρατόν· οὐδὲ γὰρ ἂν φύλακας λάθοι, οὐδέ κ᾽ ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
δαιτυμόνες δ᾽ ἀνὰ δώματ᾽ ἴσαν θείου βασιλῆος
ἀρχοὶ μνηστήρων, ἀρετῆι δ᾽ ἔσαν ἔξοχ᾽ ἄριστοι.
ἑζόμενοι δὲ κατ᾽ αὖθι γόων τίλλοντό τε χαῖτας

✦✦ ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες.
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ἠέρι καὶ νεφέληι κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
εἴα ἵστασθαι. χαλεπὸς δέ τις ὤρορε δαίμων
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.
ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτά.
ἀλλὰ καὶ ὥς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.
ἀλλ' ἴθι νῦν <u>μετὰ</u> λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει
οὐρανόθεν καταβὰς <u>ἐξ</u> αἰθέρος ἀτρυγέτοιο.
<u>σοῖς δ'</u> ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον.
καὶ δὲ σοὶ αὐτῶι θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
ὥς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
✦ σοὶ δὲ αὐτῶι μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
<u>εἰ</u> δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω
ἱέμενοι κτεῖναι, καὶ ἀπὸ κλυτὸν εὖχος ἀμέρσαι.
ἀλλὰ σὺ τούς γ' ἐπέεσσι παραιφάμενος κατέρυκε,
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
φθέγγεο δ' ἧι κεν ἴησθα, καὶ ἐγρήγορθαι ἄνωχθι
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῶι.
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
δῆθα γὰρ αὔτως εἴσηι ἑκάστου πειρητίζων.
L1[O] γνοίης δ' οἵ τινές εἰσιν <u>ἐναίσιμοι</u> οἵ τ' ἀθέμιστοι,
𝔼 ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι
ἠμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῶι,
ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾶι τοῖον ἐόντα.
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι οἷα μενοινᾶις.
καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴης
αἴ κε θάνηις καὶ <u>μοῖραν</u> ἀναπλήσηις βιότοιο
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω.
ὃς δ' ἂν ἀμύνων αὐτὸς ἔηι καὶ ἀμύμονα εἰδῆι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
καί οἱ πάντα γένοι το ὅσα φρεσὶν ἧισι μενοινᾶι.
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπηι
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
αἰεί τοι τούτωι γε πόνος καὶ κήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ <u>ἀπουρήσουσιν</u> ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι.
ἀνδρῶν δ' εἴ πέρ τίς σε βίηι καὶ κάρτεϊ εἴκων
οὔ τι τίει, σοὶ δ' ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί.
ἔκ τε καὶ ὀψὲ τελεῖς, σύν τε μεγάλωι ἀποτίσεις.
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεὸς κάρτιστος ἁπάντων,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα,
τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.
τόνδ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱὸς,
"οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι.

ἀλλ' ἐγὼ ἡμιτέλεστον ἀγακλεὲς ὡς ἴδον ἔργον
Πατρικίου, σελίδας ἱερὰς μετὰ χεῖρα λαβοῦσα,
ὅσσα μὲν ἐν βίβλοισιν ἔπη πέλεν οὐ κατὰ κόσμον,
πάντ' ἄμυδις κείνοιο σοφῆς ἐξείρουσα βίβλου·
ὅσσα δ' ἐκεῖνος ἔλειπεν, ἐγὼ πάλιν ἐν σελίδεσσι
γράψα καὶ ἁρμονίην ἱερὴν ἐπέεσσιν ἔδωκα.
εἰ δέ τις αἰτιόωιτο καὶ ἡμέας ἐς ψόγον ἕλκοι,
δοιάδες οὕνεκα πολλαὶ ἀρίζηλον κατὰ βίβλον
εἰσὶν Ὁμηρείων τ' ἐπέων θ' ὅπερ οὐ θέμις ἐστίν,
ἴστω τοῦθ', ὅτι πάντες ὑποδρηστῆρες ἀνάγκης.
εἰ δέ τις ὑμνοπόλοιο σαόφρονος Τατιανοῖο
μορφὴν εἰσαΐων σφετέρην τέρψειεν ἀκουήν,
δοιάδος οὕνεκα κεῖνος Ὁμηρείης ἀπὸ μολπῆς
κείνων τ' ἐξ ἐπέων σφετέρων ποίησεν ἀοιδὴν
Τρώων ἀρηΐων τε κακὴν ἐνέπουσαν ἀϋτήν,
ὥς τε πόλιν Πριάμοιο διέπραθον υἷες Ἀχαιῶν,
αὐτὴν Τροίαν ἔχουσαν ἐν ἀργαλέωι τε κυδοιμῶι
μαρναμένους αὐτούς τε θεούς, αὐτούς τε καὶ ἄνδρας,
οὓς ποτε χαλκεόφρονος ἀνὴρ ἀΰτησεν Ὅμηρος.
Πατρικίος δ', ὃς τῆνδε σοφὴν ἀνεγράψατο δέλτον,
ἀντὶ μὲν Ἀργείων στρατιῆς γένος εἶπεν Ἑβραίων,
ἀντὶ δὲ δαιμονίης τε καὶ ἀντιθέοιο φάλαγγος
ἀθανάτου ἤυσε καὶ υἱέα καὶ γενετῆρα.
ἀλλ' ἔμπης ξυνὸς μὲν ἔφυ πόνος ἀμφοτέροισι,
Πατρικίωι κᾀμοί καὶ θηλυτέρηι περ ἐούσηι·
καῖνος δ' ἤρατο μοῦνος ἐν ἀνθρώποις μέγα κῦδος. L1[O]
Κέκλυτε, μυρία φῦλα περικτιόνων <u>ἀνθρώπων</u>, 𝔼
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες
ἠμὲν ὅσσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει
<u>ὡς</u> εὖ γινώσκητ' ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανατοῖσιν ἀνάσσων
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος
Ἄρκτον θ', ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
ἰχθῦς ὄρνιθάς τε φίλας, ὅ τι χεῖρας ἵκοιτο
εἰναλίων τοῖσίν τε θαλάσσια ἔργα μέμηλεν
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον <u>ἔνεστι</u>
κῆτος ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη,
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα,
ἄρκτους τ' ἀγροτέρους τε σύας χαροπούς τε λέοντας,
<u>πάντα κεν</u> ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει,
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον,
ἀμφὶ δὲ λειμῶνας μαλακοὺς ἴου ἠδὲ σελίνου
πυρούς τε ζειάς τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν,

ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι
κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος,
καὶ πηγὴ ποταμῶν καὶ πίσεα ποιήεντα.
κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῶι,
πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·
τῶν δέ γε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες.
λοῖσθος ἀνὴρ ὥριστο· ἔϊκτο δὲ θέσκελον αὐτῶι.
ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
δεινός τ' ἀργαλεός τε καὶ ἄγριος οὐδὲ μαχητός,
ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
παρφασίηι τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
κούρηι δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσηι.
αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον,
φωνῆι τε βροτέηι κατερήτυε φώνησέν τε·
"ἦ ῥά νύ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
ἦέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῶι;
ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θήσω.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σχοπὸς ἔσσομαι, οὐδ' ἀπὸ δόξης.
νημερτὲς γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω.
τῆι περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν
οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος
ἀλλ' αἰεὶ ζεφύροιο λιγὺ πνείοντος ἀῆται
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσιν.
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόωσιν,
ἀλλὰ τά γ' ἀσπάρτα καὶ ἀνήροτα πάντα φύονται.
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν.
ἐνθὰ δὲ δένδρεα καλὰ πεφύκει τηλεθόωντα
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι,
ἄλλα τε πόλλ' ἐπὶ τοῖσι· σὺ δ' ἵλαον ἔνθεο θυμόν.
τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἀπολείπει.
τῶν εἴ πως σὺ δύναιο λοχησαμένη γε λαβέσθαι
πρῶτον, ἔπειτα δὲ καὐτὴ ὀνήσεαι, αἴ κε φάγηισθα
θήσει τ' ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα
ἄνδρα τε καὶ οἶκον καὶ ὁμοφροσύνην ὀπάσειεν
ἐσθλήν· οὐ μὲν γὰρ τοῦδε κρεῖσσον καὶ ἄρειον
ἢ ὁθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή, πόλλ' ἄλγεα δυσμενέεσσι,
χάρματα δ' εὐμενέτηισι·" μάλιστα δέ τ' ἔκλυον αὐτοῦ.
Ὣς εἰπὼν παρέπεισεν, ἐπεὶ διαεπέφραδε πάντα.
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός.
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῶι ἐγκάτθετο θυμῶι
αὐτίκα δ' ἥ γ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα
λισσομένη δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στοναχίζων·
ἀλλ' ἔτι που μέμνητο ἐφετμέων, ἃς ἐπέτελλεν,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
ἡ δ' αἰεὶ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
πολλῆισίν τ' ἄτηισι παρὲκ νόον ἤγαγεν ἀνδρὸς
μεμνῆσθαι πόσιος καὶ ἐδητύος ὅττι τάχιστα
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὄπασσεν
θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν,
τῶν αἵ νῦν γεγάασι, καὶ αἳ μετόπισθεν ἔσονται.
ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶ ἔργα βάληται.
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
ἥ μεγὰ ἔργον ἔρεξεν ἀΐδρείηισι νόοιο
οὐλομένη, ἥ πολλὰ κάκ' ἀνθρώποισιν ἔθηκε,
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν,
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν.
ἀλλά γε οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον·
αὐτῶν γὰρ σφετέρηισιν ἀτασθαλίηισιν ὄλοντο.
ἀλλ' αὐτός γ' ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ἀνάσσει,
υἱὸν ἀναστήσας ἀγαπήνορα λαομέδοντα
ὃς ἤιδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα
πατρὸς ἑοῖο φίλοιο, φρένας τε καὶ εἶδος ὁμοῖος
ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φίλεεσκεν
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω;
οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν.
οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.
οὐχ ὁράαις ὅτι δ' αὖτε βροτοὶ ἐπ' ἀπείρονα γαῖαν
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα μηχανόωνται,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας;
οὐχέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
οὐ γάρ τοι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων.
οὔ τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιός ἐστιν
σκηπτοῦχος βασιλεύς, οὐδὲ φρεσὶν αἴσιμα εἰδώς,
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι.
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθθαι.
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο.
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνοι
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθηι.
αἰεὶ τοῖσιν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
πάντες δ' εὐχετόωντο κελαινεφέϊ Κρονίωνι,
τοῖς θ' ὑποταρταρίοις, οἵ Τιτῆνες καλέονται
σχέτλιοι, οὔτε δίκας εὖ εἰδότες οὔτε θέμιστας.
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας,